κατὰ σεαυτόν, ὅτι ἡμεῖς βουλόμεθά σέ τι κακὸν ὑπομεῖναι· ἡμεῖς οὐ θέλομέν σοι κακῶς, ἐὰν μὴ σὺ αὐτὸς θελήσῃς σαυτῷ κακὸν κατὰ τῆς ἑαυτοῦ σωτηρίας προξενῆσαι. » Ἀπεκρίθη δὲ ὁ ἅγιος Ἰωνᾶς καὶ εἶπεν αὐτοῖς· « Ἐγὼ ταύτης τῆς σωτηρίας οὐ δέομαι διὰ τὴν ζωὴν Ἰησοῦ Χριστοῦ· παρέρχεται γὰρ καὶ οὐδέποτε μένει· ἕνεκεν οὖν τούτου οὐδέποτε ἀρνοῦμαι τὸν κύριόν μου Ἰησοῦν Χριστὸν τὸν ζῶντα εἰς τοὺς αἰῶνας, ὅτι αὐτός ἐστιν ἡ ἐλπὶς πάντων τῶν χριστιανῶν καὶ οὐ καταισχύνονται οἱ πιστεύοντες εἰς αὐτόν, διότι αὐτὸς ἐπηγγείλατο ἡμῖν λέγων· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅστις ἀρνήσεταί με ἐπὶ τῶν υἱῶν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἐπὶ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῶν ἁγίων ἀγγέλων. Ἔρχεσθαι γὰρ μέλλει ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων. Καὶ ἤδη ἡτοίμασται τοῦ ἀποδοῦναι ἑκάστῳ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ. Νῦν οὖν ταῦτα ἀκούσαντες τὸ κέλευμα, ὃ προσετάχθητε ποιεῖν εἰς ἐμέ, ταχέως διαπράξασθε· μὴ γὰρ νομίσητε, ὅτι καταλιμπάνομεν τὸν οἶκον Κυρίου καὶ ἀπειλοῦμεν αὐτὸν ἔν τινι, ἐπειδὴ αὐτὸς ἐποίησεν ἡμᾶς διακονεῖν αὐτῷ <ἐν τῷ[3]> οἴκῳ τῷ ἁγίῳ καὶ εἶπεν ἡμῖν· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καὶ πάλιν εἶπεν ἡμῖν· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται τὰ ἁλιζόμενα; Ἐὰν οὖν, καθὼς ὑμεῖς λέγετε, τῷ κελεύματι τοῦ βασιλέως τῶν βασιλέων ὑμῶν ὑπακούσωμεν καὶ τὰ προστάγματα αὐτοῦ[4] ποιήσωμεν, οὐχ ἡμεῖς ἠρνησάμεθα τὸν Κύριον ἡμῶν μόνον, ἀλλ' ἡ ἡμετέρα ἄρνησις πάντων αἴτιος γίνεται καὶ τὸ ἡμέτερον αἷμα πάντων * ὄλισθος καθίσταται. » * Fol. 102

3. *supplevi, om.* M. — 4. αὐτῶν M.

gravissimis afficiemus. Neque vero putes nos tibi esse inimicos. Ipsi enim tibi nihil mali faciemus, nisi tute saluti tuae male consulueris. Respondit sanctus Ionas : Istius, inquiens, ego salutis non egeo propter Iesu Christi vitam : praeterit enim nec unquam permanet. Quamobrem nunquam negabo Dominum meum Iesum Christum viventem in saecula quoniam ipse est spes omnium christianorum nec confunduntur qui sperant in eum : sic enim nobis pollicitus est : Amen, amen, inquiens, dico vobis, quisquis me negaverit coram filiis hominum, et ego negabo eum coram Patre meo qui in caelis est et coram sanctis angelis[1]. Veniet enim in nubibus caeli[2] in gloria Patris sui et angelorum atque archangelorum iamque paratus est ut unicuique homini reddat secundum opera ipsius. Quae cum ita sint, facite in me quod vobis mandatum est : neque enim putetis nos domum Dei relicturos, aut ab eo ullis terroribus defecturos, qui nobis concessit, ut sanctae domui eius serviremus, et nobis dixit : Vos estis lux mundi. Et rursum : Vos, inquit, estis sal terrae[3]; quod si sal evanuerit, in quo salientur ea quae salienda sunt? Quare si, ut suadetis, vestro regi regum obtemperemus, et iussa eius faciamus, non solum negabimus Dominum nostrum, sed causa erimus ut vos omnes illum negetis, et perniciem * omnibus afferemus. * Fol. 102

1. Cf. Matth., x, 33; Luc., ix, 26. — 2. Matth., xvi, 27. — 3. Matth., v, 14, 13.

6. Ταῦτα ἀκούσαντες παρ' αὐτοῦ οἱ ἀρχιμάγοι, θυμωθέντες ἰσχυρῶς ἐκέλευσαν δεθῆναι αὐτὸν νόμῳ περσικῷ καὶ διέβαλον ῥάβδον μεταξὺ τῶν χειρῶν αὐτοῦ καὶ τῶν σκελῶν· καὶ ἦν καθήμενος ὁ ἅγιος ἐν τῷ ἐδάφει καὶ κείμενος ὥσπερ λίθος ἀργός. Καθεζομένου δὲ αὐτοῦ, ἐβασάνιζον αὐτὸν οἱ δήμιοι ῥάβδοις ῥοῶν ἀκαθαρίστων ἔχουσι[1] τὰς ἀκάνθας ἰσχυράς. Ἐπὶ τοσοῦτον δὲ ἐβασάνισαν αὐτόν, ἕως οὗ ἐγυμνώθησαν αὐτοῦ αἱ πλευραί. Ὁ δὲ βασανιζόμενος οὐκ ἀντέλεγεν, ἀλλὰ δοξάζων τὸν Θεὸν ἔλεγεν· « Δόξα σοι, ὁ Θεὸς τῶν πατέρων ἡμῶν Ἀβραὰμ καὶ[2] Ἰσαὰκ καὶ Ἰακώβ, ὁ ἐξαγαγὼν ἡμᾶς ἐκ τοῦ κόσμου τούτου, ὅτι κατηξίωσας καὶ ἡμᾶς ἀγάγαι εἰς τὴν ἀγάπην καὶ εἰς τὴν πίστιν σου τὴν ἁγίαν, ὅτι διὰ τῆς πίστεως τοῦ δικαίου Ἀβραὰμ ἔγνωμεν τὴν πίστιν σου τὴν ἁγίαν, καὶ τοῦτο ἀντὶ πολλῶν ὀλίγα παθόντες. Καὶ νῦν, Κύριε, δὸς ἡμῖν ὑπομονήν, ἵνα ποιήσωμεν καὶ πληρώσωμεν πάντα, ὅσα ἐνετείλατο ἡμῖν τὸ ἅγιόν σου πνεῦμα, διότι προέφη καὶ ᾆσμα καινὸν ἤνεσε διὰ στόματος τοῦ πατρὸς ἡμῶν Δαβίδ. Καὶ πάλιν, καθὼς λέγει, οὕτως ἀξίωσον ἡμᾶς διαπράξασθαι. Λέγει γάρ· Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τουτέστι τὸ ἀεὶ εἶναι σὺν σοί, δέσποτα· ὅπερ κἀμὲ ἀξίωσον διὰ τῆς τοῦ μαρτυρίου τελειώσεως, τοῦτο γὰρ καθ' ἑκάστην ἐκδέχομαι. » Καὶ ταῦτα εἰπὼν ὁ ἅγιος Ἰωνᾶς, λέγει φωνῇ μεγάλῃ τοῖς ἀρχιμάγοις· « Ἐγὼ ἀπὸ τοῦ ἄρχοντος ὑμῶν τοῦ ἁμαρτωλοῦ καὶ ἀπὸ πάντων τῶν φίλων αὐτοῦ, οἵτινές εἰσιν οἱ ἄρχοντες τοῦ Σατανᾶ, ἀφίσταμαι καὶ ἐξαρνοῦμαι πάντας αὐτοὺς καὶ ἀπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄστρων καὶ ἀπὸ τοῦ πυρὸς καὶ τοῦ ὕδατος, οὓς

6. — 1. ἔχοντας M. — 2. *supra lin. add.* M.

6. Haec cum audivissent magorum principes, ira concitati, iusserunt, ut lege persica vinciretur. Traiecta igitur virga inter manus et crura, iners humi iacebat vir sanctus tanquam lapis; ministri autem eum virgis e malo punica spinosis verberabant, nec prius destiterunt, quam eius lacerata sunt latera. Ipse vero dum vapularet, non repugnabat, sed Deum laudans dicebat : Gloria tibi, Deus patrum nostrorum, Abraham, Isaac et Iacob, qui eduxisti nos ex hoc mundo, et dignatus es nos ad amorem et fidem sanctam tuam adducere; nam per fidem Abraham iusti cognovimus fidem sanctam tuam, cum tamen pauca pro multis patiamur. Et nunc, Domine, da nobis patientiam, ut perficiamus omnia, quae nobis Spiritus sanctus tuus praecepit, qui et canticum novum cecinit per os patris nostri David. Fac nos dignos, qui faciamus ea quae dicit; ait enim : Unam petii a Domino, hanc requiram[1], id est, ut semper sim tecum, Domine. Hoc mihi, Deus, quod expecto cotidie, per martyrium elargire. Haec sanctus Ionas cum dixisset magna voce magorum principibus : Ego, inquit, a rege vestro peccatore, et omnibus amicis eius quicumque sint — sunt enim omnes Satanae principes — discedo et omnes ipsos abnego, et a sole ac luna et stellis atque igne et aqua, quos esse deos asseritis, alienus sum, nec ullo modo illos adoro : sed credo in Pa-

1. Ps. XXVI, 4.

λέγετε εἶναι θεούς, ἀλλότριός εἰμι καὶ οὐ προσκυνῶ αὐτοῖς τὸ σύνολον· ἀλλὰ πιστεύω ἐγὼ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν ἄχραντον τριάδα, τὴν σῴζουσαν ἅπαντα κόσμον· * οἵτινες καὶ τοὺς θεοὺς ὑμῶν ἐδημιούργησαν, οὓς ἀναγκάζετε ἡμᾶς προσκυνῆσαι. » * Fol. 102ʳ

7. Ταῦτα ἀκούσαντες οἱ ἀρχιμάγοι ἐκέλευσαν σχοινίον βληθῆναι αὐτοῦ ἐν τῷ ποδὶ καὶ ἑλκυσθῆναι αὐτὸν ἔξω εἰς τὴν πάχνην καὶ τὸν παγετὸν καὶ μεῖναι αὐτὸν ἐν τῷ κρύει ὅλην τὴν νύκτα — ἦν γὰρ ὁ καιρὸς χειμέριος — καὶ παρατηρηθῆναι αὐτὸν τὸ τί ἄρα ἕνεκεν τοῦ κρύους ποιήσει. Οἱ δὲ ἐποίησαν οὕτως καὶ ἐφύλαξαν αὐτὸν μετὰ φόβου πολλοῦ εἴασάν τε αὐτὸν ἐκεῖ ἕως τῆς αὔριον.

8. Πάλιν ἐκαθέσθησαν οἱ ἄνομοι πρὸ τοῦ βήματος αὐτῶν καὶ κελεύουσι τοῖς ὑπηρέταις ἐνεχθῆναι πρὸ προσώπου αὐτῶν τὸν ἅγιον Βαραχίσιον. Εἰσελθόντος δὲ τοῦ ἁγίου καὶ στάντος ἐν τῷ σεκρέτῳ, εἶπαν πρὸς αὐτὸν οἱ ἀρχιμάγοι· « Τί ἦν¹; τί δοκεῖ σοι, Βαραχίσιε; θύεις καὶ σέβῃ καὶ προσκυνεῖς τῷ ἡλίῳ καὶ τῷ πυρὶ καὶ τῷ ὕδατι, καθὼς πεισθεὶς προσεκύνησε καὶ ὁ ἀδελφός σου Ἰωνᾶς, ἢ δέχῃ ἀγῶνα βασάνων ἐν τῷ σώματί σου; » Ἀποκριθεὶς δὲ ὁ ἅγιος Βαραχίσιος εἶπεν αὐτοῖς· « Καθὼς Ἰωνᾶς ὁ ἀδελφός μου προσεκύνησεν, ὡς προσεκύνησεν, ἐγὼ περισσότερον προσκυνῶ καὶ δοξολογῶ καὶ ὑπερυψῶ αὐτόν· ὑμεῖς ἠρνήσασθε ψευδῆ περὶ αὐτοῦ, ἀλλ' ἡ ἀλήθεια οὐ συνεχώρησε τοῦτο αὐτὸν διαπράξασθαι. Τίς γὰρ ἐδύνατο τυφλῶσαι τὴν ἔννοιαν τῆς καρδίας αὐτοῦ, ἵνα προσεκύνησεν ἐκείνῳ τῷ ὑπηρετοῦντι τοῖς ἀνθρώποις ποιήματι καὶ ἐγκατέλιπε τὸν ποιήσαντα αὐτόν; εἰ ἦν ἔργον τίμιον, ἐνδόξως

8. — 1. τι' εν *ita* M; *cf. infra n. 11.*

trem et Filium et Spiritum sanctum, veram Trinitatem, quae servat mundum universum, * fecitque deos etiam vestros, quos nobis per vim adorandos censetis. * Fol. 102ʳ

7. Haec audientes magorum principes, iusserunt ut pes eius funiculo vinciretur, atque ita in pruinam et glaciem extraheretur, ibique totam noctem iaceret — erat enim hyems — observareturque, quid frigoris causa faceret. Ministri fecerunt imperata, et illic eum usque ad sequentem diem reliquerunt.

8. Iniqui iudices rursum considentes in tribunali, sanctum Barachisium adduci imperarunt. Quo adducto et coram ipsis consistente : Quid agis, inquiunt, Barachisi? Immolasne et solem atque ignem et aquam adoras et veneraris, quemadmodum et frater tuus Ionas, mutato consilio, fecit, an tormentorum certamen vis in corpore tuo suscipere? Respondit sanctus Barachisius : Quemadmodum frater meus adoravit, sic ego adoro et veneror et colo. Vos de ipso falsum retulistis : nam veritas non permisit, ut id faceret. Quis enim mentem eius excaecare potuisset, ut relicto eo a quo ipse creatus est, adoraret ea quae creata sunt ut hominibus serviant? Si adoranda essent, non servirent hominibus, sed homines illis inservirent : dedecus

ἂν ὑπὸ βροτῶν ἐξυπηρετεῖτο καὶ οὐχ ὑπηρέτει ἡμῖν· ὕβρις γὰρ ἦν αὐτῷ τῷ πυρὶ τὸ ὑπηρετεῖν ἡμῖν τάξει δουλικῇ. Ἰδοὺ γὰρ νῦν ὁρῶμεν, ὅτι πλούσιοι καὶ μέτριοι καὶ κακοὶ καὶ ἀγαθοὶ ἐξ αὐτοῦ ὑπηρετοῦνται, καὶ δοῦλόν ἐστι τὸ πῦρ ἡμῶν τῶν ἀνθρώπων, ὑπὸ τοῦ κρείττονος καὶ ποιήσαντος αὐτὸ οὕτως ὁρισθὲν ἡμῖν. Ὥστε οὖν ἄδικόν ἐστι τὸ καταναγκάζειν ἡμᾶς, ἵνα προσκυνήσωμεν τῇ ὑπηρεσίᾳ τοῦ κόσμου, ὅπερ ὁ Θεὸς εἰς δουλείαν
Fol. 103 αὐτὸ * τὸ πῦρ ἔδωκεν ἡμῖν τοῖς ἀνθρώποις, καὶ ἀρνήσασθαι τὸν Θεὸν τὸν ποιήσαντα τον οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ἀλλὰ πρέπει μᾶλλον ἐκείνῳ ὕμνον καὶ προσκύνησιν καὶ πᾶσαν τιμὴν παρά τε βασιλέων καὶ ἀρχόντων καὶ ἡγουμένων καὶ πάσης πνοῆς ἀναφέρεσθαι, ὃς ἐποίησε τὰ ὕψη καὶ τὰ βάθη, οὗ τὴν βαθεῖαν βουλὴν οὐδεὶς ἰσχύει καταλαβεῖν οὐδὲ παρακύψαι ἱκανεῖ εἰς τὸ ὕψος τῆς δόξης αὐτοῦ. διότι αὐτοῦ χρείαν ἔχομεν πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων· αὐτὸς γάρ ἐστιν ὁ τρέφων πᾶσαν τὴν οἰκουμένην καὶ οὐδενὸς ἐπιδικάζεταί ποτε, ἀλλὰ πάντα αὐτὸς μόνος κατασκευάζει τῇ σοφίᾳ αὐτοῦ. Τοῦτο δὲ μόνον χρῄζει παρ' ἡμῶν, ἵνα γινώσκωμεν τὸ ὄνομα τοῦ Κυρίου πάντες αὐτοῦ οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ μὴ ματαίοις ἔργοις καὶ πλάναις ἀπατώμεθα. Αὐτὸς γὰρ εἶπεν· Μὴ ποιήσητε ἑαυτοῖς εἴδωλα ὑμῶν μηδὲ προσκυνήσητε τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, μήτε ἄλλῃ κτίσει τινί, διότι ἐγώ εἰμι κύριος ὁ Θεὸς ὑμῶν, ἀπ᾿ ἀρχῆς ὑπάρχων καὶ μέχρι τέλους διαμένων, καὶ οὐκ ἔστιν ἄλλος Θεὸς πλὴν ἐμοῦ καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς οὐδὲ τὴν τιμήν μοι παράσχω τοῖς εἰδώλοις. Ἐγὼ ἀποκτέννω καὶ ἐγὼ ζωοποιῶ καὶ οὐδείς ἐστιν ὃς ἐκφεύξεται τὰς χεῖράς μου. »

enim esset igni, si nobis servili ordine deserviret. Nunc autem videmus homines non solum divites, verum etiam pauperes, non bonos tantum sed et malos, ignis uti servitio. Cum igitur ignis constitutus sit servus noster ab eo qui fecit illum, iniquum est velle vos cogere ut ignem adoremus quem
Fol. 103 Deus ad humanos usus creavit * et abnegemus ipsum Deum qui fecit caelum et terram et mare et omnia quae in eis sunt. Aequum est potius ut gloria et adoratio atque omnis honor a regibus et principibus et ducibus et omni spiritu tribuatur ei, a quo et sublimia et profunda facta suut, cuius arcana consilia nemo potest comprehendere, neque valet ad sublimitatem gloriae eius pervenire, cum tamen auxilio ipsius egeant omnes filii hominum. Ipse enim alit omnes, nullius indiget, omnia moderatur; illud tantum a nobis requirit ut nomen Domini cognoscamus nec sinamus nos figmentis et erroribus decipi. Sic enim iubet : ne feceritis vobis idola[1], nec adoraveritis opera manuum vestrarum, nec ullam aliam rem procreatam : quoniam ego sum Dominus Deus vester, qui a principio sum et sine fine permaneo, et non est alius Deus praeter me, et gloriam meam alteri non dabo[2], neque virtutes meas sculptilibus neque honorem meum idolis. Ego occido et vitam praebeo[3], et non est qui manus meas possit effugere.

1. Cf. Exod., xx, 4; Deut., v, 6. — 2. Is., xlii, 8. — 3. I Reg., ii, 6.

9. Τότε θυμωθέντες οἱ ἀρχιμάγοι ἀκούσαντες τὰ ῥήματα ταῦτα παρ' αὐτοῦ, ἤρξαντο θαυμάζειν αὐτοὺς καὶ τὴν καρτερίαν αὐτῶν καὶ λέγειν· « Μὴ ἂν ἄρτι εἰς τὴν κρίσιν τούτων καθίσωμεν, ἵνα μή τις τῶν σεβομένων καὶ προσκυνούντων τῷ ἡλίῳ καὶ τῷ πυρὶ καὶ τῷ ὕδατι ἀκούσωσι τοὺς τοιούτους λόγους αὐτῶν καὶ ἀρνήσωνται καὶ αὐτοὶ αὐτοὺς καὶ ἀποστῶσι τοῦ ἐπιθύειν, ἀλλὰ μᾶλλον ἀκούσωμεν αὐτῶν διὰ νυκτός, ὅτε πάντες ἐν ἡσυχίᾳ καθεύδουσιν, ἵνα μηδεὶς νοήσῃ μηδὲ τὰ παρ' αὐτῶν λεγόμενα μηδὲ * τὰ παρ' ἡμῶν πραττόμενα. » Καὶ ἐγένετο οὕτως, καὶ ἀνέστησαν τοῦ κρίνειν τότε. Καθίσαντες δὲ νυκτὸς καὶ ἡσυχίας οὔσης πολλῆς ἐκέλευσαν ἐνεχθῆναι τὸν ἅγιον Βαραχίσιον. Τοῦ δὲ ἐνεχθέντος καὶ ἀσταλαξίας οὔσης διήκουον αὐτοῦ. Πολλὰ οὖν τῶν ἀρχιμάγων ἀνακρινάντων αὐτὸν καὶ τοῦ ἁγίου διὰ τῆς θείας σοφίας ὑπερνικήσαντος αὐτούς, θυμωθέντες οἱ ἄνομοι ἐκέλευσαν ἐνεχθῆναι βώλους χαλκοῦς καὶ ἐποίησαν πυρωθῆναι αὐτοὺς πλείω τοῦ πυρός. Καὶ πάλιν ἐκέλευσαν ἐνεχθῆναι στήμονας πεπυρωμένους δύο· καὶ ἐνεχθέντων αὐτῶν ἔστησαν ὑπεράνω τῶν δύο στημόνων τὸν ἅγιον Βαραχίσιον καὶ τοὺς δύο βώλους τοὺς πεπυρωμένους ὑπέθηκαν ὑπὸ τὰς μασχάλας αὐτοῦ τὰς δύο· καὶ εἶπον πρὸς αὐτὸν οἱ ἀρχιμάγοι· « Μὰ τὸν στέφανον τοῦ βασιλέως τῶν βασιλέων Σαβωρίου, ὅτι ἐὰν ἀπὸ τῆς μασχάλης σου ἐξεάσῃς ἕνα τῶν πεπυρωμένων βώλων καὶ πεσεῖται εἰς ἐξ αὐτῶν χαμαί, ἵνα οἴδας, ὅτι ἔχομεν ἀσφαλῶς, ὅτι ἀπηρνήσω τὸν Θεόν σου. » Ἀπεκρίθη ὁ ἅγιος Βαραχίσιος καὶ εἶπεν πρὸς αὐτούς· « Ὑπηρέται τοῦ Σατανᾶ καὶ ἄρχοντες ἁμαρτωλοί, μὰ τὴν σωτηρίαν τοῦ θεοῦ μου καὶ τὴν ἀπώλειαν τοῦ Σατανᾶ τοῦ πατρὸς ὑμῶν, οὐ μὴ φοβηθῶ ἀπὸ τοῦ θεοῦ ὑμῶν, οὔτε ἕνα τῶν βώλων ῥίψω χαμαί, ἀλλὰ διὰ τὸ ὄνομα τοῦ Χριστοῦ μου κρατήσω αὐτούς. Ἐγὼ δὲ νῦν ὁρκίζω ὑμᾶς κατὰ τοῦ ζῶντος Θεοῦ, πρὸς ταύτῃ τῇ βασάνῳ καὶ εἴ τι ἄλλο μεῖζον ἔχετε κριτήριον καὶ οἴδατε, ὅτι δεινὸν

* Fol. 103v

9. Tunc irati magorum principes, coeperunt eos admirari et ipsorum constantiam, ac dicere : Ne iudicemus illos hoc tempore, ne qui eorum qui pii sunt, et solem et ignem et aquam adorant, auditis eorum sermonibus, a religione nostra deficiant, et immolare recusent; noctu potius illos audiamus, cum omnes dormiunt et conquiescunt, ne quis cognoscat, quae ab ipsis dicuntur aut * quae fiunt a nobis. Tunc igitur iudicium intermiserunt. Nocte autem, cum magna esset quies, considentes iusserunt sanctum Barachisium adduci, et magno cum silentio eum audiebant. Cumque multa ultro citroque dicerentur, et in ea disputatione sanctus Barachisius, divina sapientia munitus, victor existeret, indignati iusserunt duas glebas aeneas ardentissimas sub axillas ipsius admoveri et dixerunt ei : Per regis regum Saborii coronam abice alteram e glebis in terram, ut intellegamus te Deum tuum abnegasse. Respondit sanctus Barachisius : Ministri Satanae et principes scelerati, per salutem Dei mei et interitum Satanae patris vestri, non timeo regem vestrum, et neutram glebarum in terram abiciam, sed utramque propter nomen Christi perferam. Quin etiam vos adiuro per viventem Deum, ut ad hunc cruciatum maiores alios, si quos habetis, adiungatis. Quis enim

* Fol. 103v

ἐστιν, ἐπαγάγετέ μοι· τίς γάρ ἐστιν ὁ εἰσερχόμενος εἰς ἀγῶνα πολέμου καὶ οὐκ ἐκδίδωσιν ἑαυτὸν προθύμως εἰς θάνατον, ἵνα λάβῃ ὄνομα μέγα καὶ δόματα παρὰ τοῦ βασιλέως πολλὰ καὶ κληρονομήσῃ τόπον ἀρχόντων; »

10. Ταῦτα εἰπόντος τοῦ ἁγίου Βαραχισίου, ἀνοίᾳ πολλῇ κρατηθέντες οἱ ἀρχιμάγοι ἐκέλευσαν λυθῆναι μόλιβδον καὶ βληθῆναι εἰς τὰ βλέφαρα καὶ εἰς τὰς ῥῖνας αὐτοῦ. Καὶ
Fol. 104 πάλιν ἐκέλευσαν ἐπιχεθῆναι μόλιβδον * ἐν τῷ λάρυγγι αὐτοῦ καὶ εἰς τὰ ὦτα αὐτοῦ, ἵνα μὴ ἀκούῃ μήτε λαλῇ. Καὶ μετὰ τοῦτο προσέταξαν τοῖς ὑπηρέταις λέγοντες· « Λαβόντες αὐτὸν ἀπαγάγετε αὐτὸν ἐν τῷ δεσμωτηρίῳ καὶ ἀπὸ ἑνὸς ποδὸς κρεμάσατε αὐτὸν ἐκεῖ. »

11. Καὶ ἐποίησαν οὕτως· καὶ ταῦτα εἰπόντων αὐτῶν, ἐκέλευσαν πάλιν οἱ ἀσεβεῖς ἀρχιμάγοι ἀχθῆναι πρὸ προσώπου αὐτῶν τὸν μακάριον Ἰωνᾶν. Τοῦ δὲ ἐλθόντος, λέγουσι πρὸς αὐτὸν οἱ ἀρχιμάγοι· « Τί ἦν, Ἰωνᾶ; πῶς τὸ σῶμά σου φαίνεταί σοι καὶ πῶς διῆξας τὴν νύκτα ἐκείνην πᾶσαν σταθεὶς ἐπάνω κρύους καὶ πανδείνου ψύχους; » Ἀπεκρίθη πρὸς αὐτοὺς ὁ μακάριος Ἰωνᾶς καὶ εἶπεν· « Γινώσκετε, ἄρχοντες τοῦ βασιλέως, ὅτι ὁ Θεός μου, ὅπου εὐδοκεῖ ἡ ψυχή μου, ἐξ οὗ ἔτεκέ με ἡ μήτηρ μου καὶ μέμνημαι καὶ οἶδα, οὐδέποτε τοιαύτην καλὴν ἐχαρίσατό μοι νύκτα· οὐδὲ μέμνημαι ἀκμήν, ἀφ' οὗ εἰμι ἐν ἀνθρώποις καὶ γινώσκω τί ἦν αἴσθησις, ὅτι τοιαύτη ἀναπεπαυμένη[1] παρῆλθεν ὑπεράνω μου νύξ· ἦλθε γάρ μοι ἀποφορὰ τοῦ ξύλου τοῦ ἁγίου, ὅπου ἐσταυρώθη ὁ κύριός μου Ἰησοῦς Χριστός. »

12. Ταῦτα εἰπόντος τοῦ ἁγίου Ἰωνᾶ, ἀνταπεκρίθησαν οἱ παράνομοι ἀρχιμάγοι καὶ

11. — 1. τοιαύτην ἀναπεπαυμένην M.

ad bellum proficiscitur, et in praelium ingreditur, qui non promptus sit mortem oppetere, ut magnam gloriam et praemia multa et locum principis a rege consequatur?

10. Haec cum a sancto Barachisio dicerentur, ingenti dementia victi magorum principes, iusserunt plumbum liquefieri et in palpebras eius et nares
Fol. 104 conici; rursumque liquefieri plumbum iusserunt,* et in fauces eius et aures infundi, ne audire loquive posset. Post autem ministris illum tradiderunt, dicentes : Abducite eum in carcerem, ibique uno pede suspensum includite.

11. Tunc imperarunt, ut beatus Ionas iterum ad conspectum suum adduceretur. Quo quidem adducto : Quomodo, inquiunt, se habet corpus tuum? et quomodo noctem illam totam glaciei et frigori expositus transegisti? Respondens beatus Ionas : Nullam, inquit, mihi credite, regii principes, Deus meus, in quo animus meus conquiescit, noctem unquam mihi aeque tranquillam largitus est, ex quo me peperit mater mea; nec memini unquam, ex quo scire potui quid sensus sit, ullam omnino noctem ita mihi quiescenti suavem extitisse; consolatio enim mihi praesto fuit ex sancto illo ligno, cui affixus fuit Dominus meus Iesus Christus.

12. His auditis iniqui magorum principes dixerunt : Atqui frater tuus

εἶπον αὐτῷ· « Ὁ ἀδελφός σου Βαραχίσιος ἠρνήσατο τὸν Θεόν σου, καὶ σὺ ἐπιμένεις ἔτι εἰς αὐτόν; » Ἀποκριθεὶς ὁ ἅγιος Ἰωνᾶς εἶπεν πρὸς αὐτούς· « Οἶδα κἀγώ, ὅτι ἠρνήσατο εἰδικῶς[1] τὸν διάβολον καὶ πάντας τοὺς ἀγγέλους αὐτοῦ καὶ τῷ δεσπότῃ Χριστῷ τελείως ἑαυτὸν προσεκόμισεν. » Λέγουσιν αὐτῷ οἱ ἀρχιμάγοι· « Μὴ ἀπολέσῃς κακῶς τὴν ψυχήν σου. Συμφέρει γάρ σοι μᾶλλον τοῦ ἀποστῆναι τοῦ Θεοῦ σου. » Ἀπεκρίθη πρὸς αὐτοὺς Ἰωνᾶς καὶ εἶπεν αὐτοῖς· « Τυφλοὶ καὶ μωροί, πῶς λέγετε ὑμεῖς ἑαυτούς, ὅτι φρόνιμοί ἐσμεν καὶ τῇ *φρονήσει ἡμῶν ἐξερευνῶμεν τὴν ἀλήθειαν; δύναται ἄνθρωπος ἔχων τὸν σῖτον ἑαυτοῦ ἐν τῷ * Fol. 104v ὡρείῳ ἀποκείμενον καὶ φυλάττων αὐτὸν ὑετοῦ καὶ[2] νιφετοῦ καὶ βροντῆς καὶ ἀστραπῆς καὶ τῆς λοιπῆς τοῦ ἀέρος ἐπιφορᾶς μὴ λαμβάνειν ἐκ τοῦ σίτου χαίρων ἐν ταῖς χερσὶν αὐτοῦ καὶ σπείρειν ἐν ὀνόματι Κυρίου; καὶ σπείρας προσδοκᾷ ἐρχομένου τοῦ θερισμοῦ γεμίσαι τὴν ἅλωνα ἐκ τοῦ ὀλίγου ἐκείνου οὗ ἔσπειρε διὰ τὴν ἐλπίδα αὐτοῦ, ἣν ἔσχεν εἰς τὸν Χριστόν. Ἐὰν δὲ ἀφήσῃ τὸν σῖτον κεῖσθαι εἰς τὴν ἀποθήκην αὐτοῦ καὶ μὴ σπείρῃ ἐξ αὐτοῦ, λείψει μὲν ὁ σῖτος, περισσεύειν δὲ οὐ δύναται. Οὕτω καὶ ἐν ἡμῖν τοῖς ἀνθρώποις ἔστι συνιδεῖν· ἐάν τις ἀπολέσῃ αὐτοῦ τὴν ψυχὴν ἐν τῷ κόσμῳ τούτῳ διὰ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῷ νέῳ κόσμῳ, ὅτε φαίνεται ἡμῖν καὶ ἔρχεται ἀνανεοῦν τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐκείνους τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν καὶ ποιοῦντας τὸ θέλημα αὐτοῦ, ἀνανεοῖ αὐτοὺς ἐν ἐκείνῳ τῷ φωτὶ αὐτοῦ, ὅπερ οὐ παρέρχεται οὔτε λύεταί ποτε· καὶ τοὺς καταφρονοῦντας τῶν ἐντολῶν αὐτοῦ καὶ τῶν προσταγμάτων ἐμβαλεῖ αὐτοὺς ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ, καθὼς γέγραπται· οὐκ εἰσιν ἄνθρακες τοῦ πυρὸς αὐτῶν καὶ φῶς οὐκ ἔχει ἡ φλὸξ αὐτῶν. »

12. — 1. *hic in margine prima manu adscriptum est* καθ' ὅλου M. — 2. κἂν M.

Barachisius Deum tuum abnegavit, et tu adhuc in sententia permanes obstinate? Respondit sanctus Ionas : Scio, inquiens, et ego fratrem meum abnegasse diabolum et omnes angelos eius, seque perfecte Christo Domino addixisse. Nonne, dixerunt magorum principes, magis expedit tibi, ut a Deo tuo deficias quam ut vitam amittas? Respondit sanctus Ionas : O caeci et stulti, quomodo vos esse prudentes iactitatis? Expendite, quaeso, pro vestra prudentia* veritatem. Non potest homo qui triticum habet in horreo reconditum * Fol. 104r et servat illud, quamvis et imbres et nives et fulmina et reliquae aeris iniuriae vigeant, sibi temperare, quin ipsum triticum sumat et manibus suis in terram iaciat, seminans in nomine Domini; sperat enim ex semine exiguo se messis tempore, Christo favente, aream repleturum. Quod si triticum in horreo suo reliquerit, et non seminaverit, deficiet et crescere non poterit. Idem in hominibus licet considerare. Si quis in hoc mundo pro nomine Domini nostri Iesu Christi animam suam perdiderit, in novo mundo, cum venerit ad hominum filios renovandos, eos, qui in ipsum credunt et voluntatem eius faciunt, renovabit in lumine suo, quod nunquam praeterit neque dissolvitur; eos vero, qui praecepta ipsius mandataque neglegunt, in ignem coniciet qui nunquam extinguitur; neque enim carbones habet ignis ipsorum, ut scriptum est, nec lucem habet eorum flamma.

13. Ἀκούσαντες δὲ αὐτοῦ οἱ ἀρχιμάγοι λέγοντος[1] ταῦτα, ἐφιμώθησαν ἐπὶ ὥραν ἱκανήν, τοὺς λόγους αὐτοῦ θαυμάζοντες. Ὕστερον δὲ ἀποκριθέντες λέγουσιν αὐτῷ· « Μὴ πλανῶ, Ἰωνᾶ, καὶ ἀκολούθει γραφαῖς· πολλοὺς γὰρ ἀπατῶσιν αἱ γραφαί. » Ἀπεκρίθη δὲ ὁ μακάριος Ἰωνᾶς καὶ λέγει αὐτοῖς· « Καλῶς εἴπατε, ὅτι πλανῶσιν αἱ γραφαί, ἀλλ' ὑμῶν τῶν ἑλλήνων· οὐ πλανᾷ δὲ ἄλλο τι τοὺς ἀνθρώπους εἰ μὴ ὁ βίος τοῦ κόσμου τούτου· ὅστις δὲ γεύεται θλίψιν Χριστοῦ, οὐ πλανᾶταί ποτε. Ὥσπερ γὰρ πλούσιός τις ἄριστον μέγα τοῖς φίλοις αὐτοῦ ἑτοιμάσας καὶ ἀποστείλας ἐπὶ τοὺς κληθέντας ὑπ' αὐτοῦ, ἐξερχόμενοι οἱ
* Fol. 105 κληθέντες * ἕκαστος ἐκ τοῦ οἴκου ἑαυτοῦ οἴδασιν ἀκριβῶς, ὅτι ἀπέρχονται εἰς εὐφρασίαν, καὶ προθύμως ἐπὶ τὸ ἄριστον παραγίνονται· εἰσελθόντες δὲ εἰς τὸ ἄριστον καὶ ἀνακλιθέντες ἐν τῇ τραπέζῃ, γευσάμενοι τοῦ ποτοῦ, ἐὰν ἡδὺν τὸν οἶνον ἴδωσιν ὄντα, εὐφραίνονται γνησίως ἐξ αὐτοῦ καὶ ἐκ τῆς μέθης οὐ δύνανται ἀπελθεῖν ἑαυτοῖς[2] εἰς τὸν οἶκον αὐτῶν, ἐπειδήπερ πολὺ ἔπιον ἡδυνθέντες τοῦ οἴνου, μέχρις οὗ ἔλθωσιν οἱ διαφέροντες αὐτοῖς καὶ παρακρατήσωσιν αὐτοὺς καὶ ἀγάγωσιν εἰς τὴν ἰδίαν οἰκίαν· οἵτινες τὸ πρωὶ ἐξυπνιζόμενοι, ὅτε πέψωσι τὸν οἶνον, ἀγάλλονται σφοδρῶς, ὅτι πρὸς τοὺς ἰδίους ἔμεινον· οὕτω καὶ οἱ δοῦλοι τοῦ Χριστοῦ, ὅταν ἴδωσιν, ὅτι καλοῦσιν αὐτοὺς οἱ ἄρχοντες εἰς τὰ δικαστήρια, οἴδασιν, ὅτι εἰς ἀγῶνα καὶ εἰς βάσανα[3] ἔρχονται. Ὅτε οὖν ἀπέλθωσι καὶ πίωσι καὶ μεθυσθῶσι τῶν βασάνων καὶ τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐκέτι μέμνηνται οὔτε οἴκου οὔτε τέκνων οὔτε ὑπολήψεως οὔτε δύνανται κτήσασθαι χρυσίον ἢ ἄργυρον ἢ ἄλλο τι τοῦ κόσμου τούτου, ἀλλὰ καταφρονοῦσι καὶ βασιλέων καὶ ἀρχόντων, ἐκδεχόμενοι ἕνα καὶ μόνον βασιλέα μέγαν τὸν Χριστόν,

13. — 1. λέγοντες M. — 2. ἑαυτοῖς, *id est sine adiutorio.* — 3. *ita* M. βασάνους *exspectes.*

13. Haec ille cum dixisset, diu magorum principes obmutuerunt, sermonem ipsius admirati. Postea vero dixerunt ei : Ne erres, Iona, neque scripturas sequaris; multos enim scripturae decipiunt. Respondit beatus Ionas, et : Recte, inquit, dixistis, scripturas decipere; decipiunt enim scripturae Graecorum, nec aliud magis homines decipit, quam vita mundi huius; quisquis autem Christi gustat afflictionem, is nunquam fallitur. Quemadmodum enim cum dives aliquis amicos ad convivium vocat, illi, relictis propriis aedibus,
* Fol. 105 accedunt, * sciunt enim se ad laetitiam invitari; cum autem discubuerint ac vinum degustarint, si suave sit, gaudent et largius bibunt, nec postquam ebrii facti sunt domum reverti possunt, sed eorum domestici apprehendunt illos, domumque deducunt; postridie autem mane, cum iam vinum edormierint, et crapulam exhalarint, valde laetantur, quod apud domesticos suos sint; sic et Christi servi, cum se a principibus in carcerem vocari sentiunt, se ad certamina et tormenta ire non ignorant; cum igitur accesserint et biberint et cruciatibus atque amore Christi ebrii evaserint, nec familiae nec liberorum amplius nec famae recordantur, nec aurum aut argentum aut quicquam aliud curant; sed reges et principes aspernantur, et regem unum expec-

οὗτινος στρατός ἐσμεν ἡμεῖς, εἰς γενεὰς γενεῶν διαμένοντες αὐτῷ, οὗτινος ἡ βασιλεία οὐ παρέρχεται, ἀλλὰ μένει εἰς αἰῶνα αἰῶνος. »

14. Ταῦτα εἰπόντος τοῦ ἁγίου Ἰωνᾶ, ἐκέλευσαν αὐτὸν τότε οἱ ἀρχιμάγοι ὡς ἅτε πολλὰ λαλήσαντα δακτυλοκοπηθῆναι· καὶ ἐποίησαν οὕτως οἱ δήμιοι καὶ ἔκοψαν τοὺς δακτύλους αὐτοῦ ἀμφοτέρους τῶν ποδῶν καὶ τῶν χειρῶν καὶ ἔρριψαν καὶ ἐσκόρπισαν αὐτοὺς ἔμπροσθεν τοῦ ἁγίου Ἰωνᾶ· καὶ εἶπον πρὸς αὐτὸν οἱ ἀρχιμάγοι· « Ἰδοὺ ὁρᾷς, πῶς διεσπείραμεν τοὺς δακτύλους σου ἐπὶ τῆς γῆς; ἔκδεξαι οὖν καὶ ὅτε ἔρχεται ὁ καιρὸς τοῦ θερισμοῦ, ἥξουσί σοι πολλοὶ δάκτυλοι. » Ἀνταπεκρίθη αὐτοῖς ὁ ἅγιος Ἰωνᾶς * καὶ εἶπεν· « Ἐγὼ πολλῶν χειρῶν * Fol. 105r
οὐ δέομαι, ἀλλ' ἔστι Θεὸς ὁ πλάσας με, ὅστις πάλιν ἀνανεοῖ με ἐν τῇ ἀνανεώσει αὐτοῦ, ἣν μέλλει ποιεῖν εἰς ἡμᾶς. »

15. Ταῦτα ἀκούσαντες παρ' αὐτοῦ οἱ ἀρχιμάγοι, θυμοῦ πλησθέντες ἐκέλευσαν λυθῆναι πίσσαν ἐν μεγάλῳ χαλκίῳ καὶ προσέταξαν τοῖς δημίοις ἐκδεῖραι περικύκλῳ πᾶσαν τὴν κεφαλὴν αὐτοῦ, ἔνθα αἱ τρίχες εἰσί, καὶ πρὸς τούτοις γλωσσοτομῆσαι αὐτόν. Καὶ ἐποίησαν οὕτως. Καὶ προσέταξαν οἱ ἄνομοι, καὶ ἐνέβαλον ἐπὶ αὐτοῦ τοῦ ἁγίου τὸ δέρμα τῆς κεφαλῆς αὐτοῦ καὶ τὴν γλῶσσαν εἰς τὸ χαλκίον τῆς πίσσης, ὕστερον δὲ μετὰ τοῦτο καὶ ἐνέβαλον καὶ αὐτὸν τὸν ἅγιον εἰς τὴν πίσσαν ἐν μέσῳ τοῦ χαλκίου, φλάζοντος[1] ἀφορήτως τοῦ σκεύους. Βληθέντος δὲ τοῦ ἁγίου ἐν τῷ χαλκίῳ τῆς πίσσης, εὐθέως ἐξέδραμεν ἔξω τοῦ χαλκίου πᾶσα ἡ πίσσα καὶ οὐχ ἥψατο αὐτοῦ οὐδὲ ὅλως ἠδίκησεν αὐτὸν ἔν τινι.

15. — 1. φράζοντος M. φλάζοντος *correxi, melius* παφλάζοντος, *nisi malueris* βράζοντος, *ut habet* B. *infra*, II, 7.

tant magnum Christum, cuius nos milites sumus in saecula saeculorum permanentis, cuiusque regnum non praeterit, sed manet in aeternum.

14. His auditis, iusserunt magorum principes, ut sancto Ionae, tanquam plura quam opus esset locuto, digiti manuum ac pedum praeciderentur. Quod quidem ministri cum effecissent, amputatos digitos in conspectu ipsius proicientes, dixerunt : Ecce nunc quomodo digitos tuos in terra disseminavimus; expecta igitur, et cum messis tempus advenerit, aderunt tibi multi digiti. Respondit sanctus Ionas :* Ego digitorum et manuum non egeo * Fol. 105r
multitudine; Deus, a quo factus sum, mea, in ea renovatione, quam in nobis est effecturus, ipse renovabit.

15. Audientes haec magorum principes, iracundia pleni, iusserunt picem in magno vase liquefieri, et caput eius a ministris abradi, tum ipsum sanctum in saccum ita conici ut caput extaret. Fecerunt iniqui ministri quod fuerat imperatum, et sancti viri cutem capitis ac linguam in vas pice plenum immiserunt, deinde totum etiam ipsum sanctum in picem in medio vasis vehementissime aestuantis coniecerunt. Verum sancto Iona in vas coniecto, statim tota pix e vase defluxit, ita ut eum non attingeret, nec ulla in parte laederet.

16. Ἰδόντες δὲ οἱ ἀσεβεῖς τὸ γενόμενον θαῦμα καὶ ξενισθέντες καὶ καταπλαγέντες, ὅτι οὔτε ὅλως ἠδίκησεν αὐτὸν ἡ τοιαύτη βάσανος, ἐκέλευσαν ἐνεχθῆναι κοχλίαν καὶ βληθῆναι αὐτὸν ἐν αὐτῷ καὶ περισφιγχθῆναι ἰσχυρῶς, ὅπως πρίσωσιν αὐτόν. Καὶ ἐποίησαν οὕτως οἱ δήμιοι καὶ περιέσφιγξαν αὐτὸν ἐν τῷ κοχλίᾳ καὶ συνέτριψαν αὐτοῦ πάντα τὰ ὀστᾶ καὶ μετὰ τοῦτο ἔπρισαν αὐτὸν κατὰ μέσον· πρισθέντος δὲ αὐτοῦ, ἐκέλευσαν οἱ ἀσεβεῖς ἀρχιμάγοι βληθῆναι τὸ πτῶμα αὐτοῦ ἐν λάκκῳ βαθυτάτῳ καὶ ἀσφαλῶς φυλάττεσθαι αὐτό· καὶ ἐγένετο οὕτως.

17. Τελειωθέντος οὖν οὕτως τοῦ ἁγίου Ἰωνᾶ, ἐκέλευσαν πάλιν πρὸς ἐρώτησιν ἐνεχθῆναι τὸν ἅγιον Βαραχίσιον. Τοῦ δὲ ἐλθόντος, λέγουσιν αὐτῷ οἱ ἀρχιμάγοι· « Φεῖσαι τῶν μελῶν σου, Βαραχίσιε, καὶ μὴ θελήσῃς ἀκαίρως κατακρῖναι ἑαυτόν. » Ἀνταπεκρίθη αὐτοῖς ὁ
Fol. 106 ἅγιος καὶ εἶπεν· « Οὔτε ἐγώ εἰμι ὁ πλάσας ἐμαυτὸν * οὔτε ἐγὼ ἀφανίζω ἑαυτόν· ἀλλ' ἔστιν ὁ ποιήσας με Κύριος καὶ αὐτὸς ἀνανεοῖ με τῇ δυνάμει αὐτοῦ καὶ αὐτός με ῥύεται καὶ φυλάττει ἄμωμον ἐκ τῶν χειρῶν ὑμῶν καὶ ἐκ τῶν χειρῶν τοῦ ἄρχοντος ὑμῶν τοῦ ἐξουδενωμένου, ὅστις τὸν ποιήσαντα αὐτὸν Θεὸν οὐ γινώσκει, ἀλλὰ τὰ θελήματα τοῦ διαβόλου ἀγωνίζεται καὶ σπουδάζει πληροῦν. » Ταῦτα εἰπόντος τοῦ ἁγίου Βαραχισίου, εἶπον οἱ δύο ἀρχιμάγοι Μασδρὰθ <καὶ[1]> Σηρὼθ πρὸς Μααρνησὶ[2] τὸν ἀρχιμάγον· « Ἡμεῖς ἐσμεν οἱ ὑβρίζοντες τὸν βασιλέα τῶν βασιλέων Σαβώριον· οὗτοι γὰρ εἰς τὴν πλάνην ἑαυτῶν θαρροῦντες οὐ προσποιοῦνταί τινα. » Ταῦτα εἰπόντων αὐτῶν, θυμοῦ πλησθέντες πολλοῦ,

17. — 1. *om.* M, *sed cf. supra n.* 3, *not.* 1. — 2. Σηρὼθ... Μααρνησὶ *hic* M.

16. Rem mirabilem ac novam admirati homines impii, et videntes virum sanctum nullum ex tanto tormento damnum accepisse, cochleam afferri iusserunt, et in ea sanctum poni vehementerque comprimi ac dissecari. Fecerunt ministri imperata ipsumque in cochlea compresserunt, et omnia illius ossa confregerunt, deinde ipsum medium dissecuerunt. Cum autem dissectus esset, imperarunt impii magorum principes, ut corpus eius in lacum profundissimum conicerent ac diligenter observarent. Atque ita factum est.

17. Sancto igitur Iona martyrii coronam assecuto, iusserunt rursum ad quaestionem sanctum Barachisium adduci, atque ita eum allocuti sunt : Parce membris tuis, Barachisi, et noli intempestive teipsum perdere. Respon-
Fol. 106 dit eis vir sanctus : Neque ego, inquiens, meipsum formavi * neque perdam. Dominus, a quo factus sum, me virtute sua renovabit eripietque me e manibus vestris et e manibus principis vestri nequissimi, qui opificem suum Deum non agnoscit, sed diaboli voluntatem defendit studetque perficere. Haec cum a sancto dicta essent, duo ex magorum principibus Masdrath et Seroth ad Maarnesem conversi : Nos, inquiunt, regem regum Saborium afficimus ignominia. Isti enim errore suo confisi, neminem verentur.

ἠλλοιώθησαν τὰ πρόσωπα ἀμφοτέρων ἐπὶ τῷ μακαρίῳ Βαραχισίῳ· καὶ ἐκέλευσαν συρῆναι αὐτὸν εἰς ἀκάνθας. Καὶ μετὰ τοῦτο ἐκέλευσαν ἐνεχθῆναι καλάμους καὶ σχίσαντες κατὰ μέσον ἐποίησαν τεθῆναι αὐτοὺς ἐπὶ τὴν σάρκα αὐτοῦ. Καὶ προσέταξαν σχοινίῳ λεπτῷ περιπλέξαι αὐτὸν καὶ κατασφίγξαι αὐτόν, ἕως οὗ χωσθῶσιν οἱ κάλαμοι εἰς τὴν σάρκα αὐτοῦ. Καὶ ἐκέλευσαν οὕτως ἐκσυρῆναι τοὺς καλάμους ἀπ' αὐτοῦ, ὅπως τὰς σάρκας αὐτοῦ μελίζοντες καταγάγωσι· καὶ ἐποίησαν οὕτως οἱ δήμιοι καὶ ἐκσύροντες τοὺς καλάμους κατέσυραν τὰς σάρκας αὐτοῦ. Μετὰ δὲ ταῦτα ἐκέλευσαν οἱ ἀσεβεῖς, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν κοχλίαν, ὅπου ἐπρίσθη ὁ ἅγιος Ἰωνᾶς, καὶ συνέτριψαν ἐκεῖ πάντα τὰ ὀστᾶ αὐτοῦ. Συντριβομένων δὲ τῶν ὀστέων αὐτοῦ, ἐκέλευσαν τοῖς δημίοις οἱ ἀρχιμάγοι, καὶ ἤνεγκαν πίσσαν καιομένην καὶ ἐνέβαλον εἰς τὸν λάρυγγα αὐτοῦ· καὶ οὕτως ἀπέδωκε τὴν ψυχὴν ὁ ἅγιος Βαραχίσιος, καὶ ἤθλησε καὶ οὗτος μετὰ τῶν ἁγίων πάντων.

18. Ἀκούσας δέ τις ἀνὴρ εὐλαβὴς ὀνόματι Ἀβδισσότας, ὅτι ἐτελειώθησαν οἱ ἅγιοι Ἰωνᾶς καὶ Βαραχίσιος, παρεγένετο * καὶ ἐξηγόρασε παρὰ τῶν φυλασσόντων τὰ σκηνώματα τῶν ἁγίων μιλιαρισίων περσικῶν πεντακοσίων καὶ τριῶν ὁλοσηρίκων· οὐ μόνον δὲ τῶν δύο, Ἰωνᾶ καὶ Βαραχισίου, ἐξηγόρασε τὰ σώματα, ἀλλὰ καὶ τῶν ἄλλων ἐννέα τῶν ἤδη μαρτυρησάντων πρὸ αὐτῶν. Ὤμοσε δὲ ὁ ἀνὴρ τοῖς πωλήσασι τὰ σώματα ὅτι « Οὐδεὶς τῶν ἀρχόντων ὑμῶν οὐ μὴ μάθῃ τὸ γενόμενον, ἐπειδὴ ἐξ ἀρχῆς φίλος γνήσιός εἰμι τῶν ἀνδρῶν τούτων τῶν τελειωθέντων. » Ἀπήτησαν γὰρ αὐτὸν τὸν ἄνδρα ὅρκον οἱ φυλάσσοντες τὰ σώματα ἐν τῷ μέλλειν αὐτὸν ἀγοράζειν αὐτά, ὅτι οὐδεὶς μανθάνει τὸ γινόμενον, « ἵνα μὴ κινδύνῳ περιπέσωμεν. »

* Fol. 106v

Ita locuti, ardentes ira vultus suos ad beatum Barachisium converterunt, iusseruntque ipsum in spinas conici, deinde arundines afferri findique medias et sancti viri carni admoveri, tum funiculo tenui ipsum circumvinciri atque comprimi, donec arundines in carnem penetrarent; post autem imperarunt, ut arundines extraherentur ut eius carnes dilacerarent. Sic igitur fecerunt ministri, et carnes ipsius dilaniarunt. Tunc in cochleam, in qua sanctus Ionas sectus fuerat, inici iusserunt impii, atque ibi omnia ossa eius perfringi; quae cum essent confracta, magorum principes ministris imperarunt, ut in fauces ipsius picem ardentem conicerent; atque ita beatus Barachisius animam reddidit, et ad sanctorum martyrum numerum ascriptus est.

18. Cum autem vir quidam pietate insignis, nomine Abdissotas, sanctos Ionam et Barachisium martyrio coronatos intellexisset, accessit, * et sanctorum tabernacula quingentis miliarisiis daricis et tribus vestimentis sericis emit ab iis a quibus servabantur. Neque vero sola sanctorum Ionae et Barachisii corpora mercatus est, sed illorum etiam qui ante ipsos martyrium pertulerant. Iuravit autem emptor, neminem e principibus resciturum, custodes sanctorum corpora vendidisse, dixitque se illorum, qui martyrio essent affecti, veterem amicum esse. Custodes enim iusiurandum exegerant, veriti ne, si res ad principum aures pervenisset, in aliquod periculum inciderent.

* Fol. 106v

19. Ἔστι δὲ τῶν ἁγίων ἁπάντων τῶν τελειωθέντων τότε τὰ ὀνόματα ταῦτα· Ἰωνᾶς καὶ Βαραχίσιος, Ζανίθας[1], Λάζαρος, Νέρσης, Ἠλίας, Ἄβιβος, Μάρις, Μαρουθᾶς, Σιμβεηθὴς[2] καὶ Σάβας. Οὗτοι οἱ ἕνδεκα ἀθλοφόροι καὶ καλλίνικοι μάρτυρες ἠγωνίσαντο μέχρι τέλους διὰ Χριστόν, κρίσει κρίναντες στρεβλωθῆναι διαφόροις βασάνοις καὶ μόνον τὴν εἰς αὐτὸν πίστιν φυλάξαι ἀκλινῆ, ἵνα γένωνται τύποι καὶ ἔσοπτρον καὶ εἰκὼν λαμπρὰ ταῖς μεταγενεστέραις γενεαῖς. Οὗτοι οἱ ἅγιοι καὶ τρισμακάριοι ἀθλοφόροι τοῦ Χριστοῦ γενναίως ἀγωνισάμενοι ὑπὲρ Χριστοῦ καὶ ἰσχυρῶς ἀντιπαλαίσαντες δι' αὐτόν, τὴν στολὴν τοῦ φωτὸς ἐνεδύσαντο καὶ τὸν ἀμαράντινον στέφανον ἀνεδήσαντο παρ' αὐτοῦ, νικήσαντες κατὰ κράτος τοὺς ἐναντιωμένους αὐτῷ τῷ Χριστῷ· ὧντινων ἁγίων ταῖς εὐχαῖς καὶ ταῖς πρεσβείαις ἐλεηθῶμεν ἅπαντες. Ἐτελειώθησαν δὲ οἱ ἅγιοι μάρτυρες Χριστοῦ, οἱ μὲν ἐννέα μηνὶ μαρτίῳ κζ', οἱ δὲ δύο μηνὶ τῷ αὐτῷ κθ'.

20. Συνέγραψε δὲ τὰ ὑπομνήματα ταῦτα τῶν ἁγίων Ἡσαΐας τις ὀνόματι, υἱὸς Ἀδάβου, ἀπὸ χώρας ὑπάρχων Ἀρζανινῶν, ἱππεὺς ὑπάρχων τοῦ βασιλέως τῶν Περσῶν Σαβωρίου· ὃς ἦν παραγενόμενος μετὰ τῶν ἀρχιμάγων * ὡς ἀκροατὴς μόνον καὶ θεωρητὴς τῶν πραττομένων· ὅστις παραγενόμενος ἐν τῇ ἀθλήσει καὶ πάντα ἀπ' ἀρχῆς μέχρι τέλους ἀκριβῶς ἀκούσας καὶ θεωρήσας, ἐσπούδασεν ἀσφαλῶς συγγράψαι εἰς οἰκοδομὴν καὶ εἰς ὠφέλειαν καὶ σωτηρίαν πολλὴν πᾶσι τοῖς ἐντυγχάνουσιν ἐκδοῦναι, πρὸς τὸ καὶ ἄλλους ζηλωτὰς γενέσθαι τῆς τοιαύτης περὶ Χριστὸν ἀρετῆς, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς αἰῶνα αἰῶνος διαμένει. Ἀμήν.

* Fol. 107

19. — 1. Ζανίδας *hic* M; *cf. supra n.* 2. — 2. Σημβεηθὴς *hic* M; *cf. supra n.* 2.

19. Sanctorum, qui martyrii palmam tulerunt, nomina haec sunt, ut superius diximus : Ionas et Barachisius, Zanithas, Lazarus, Maruthas, Nerses, Elias, Mares, Abibus, Simbeethes et Sabas. Undecim hi pugiles gloriosique martyres ad finem usque pro Christo decertarunt, passique sunt se variis cruciatuum generibus torqueri, ut in Christi fide constantes apparerent et praeclarum virtutis specimen et exemplum ac formam posteris relinquerent. Hi sancti beatissimi et Christi milites invicti strenue pro duce suo pugnantes et victoriam de Christi hostibus reportantes, stolam lucis induti sunt et incorruptam ab ipso gloriae coronam obtinuerunt; et nos omnes eorum precibus et supplicationibus apud Deum adiuvemur. Interfecti sunt novem ex iis Christi martyribus VI. calendas aprilis, reliqui autem duo IV. calendas eiusdem mensis.

20. Hanc autem sanctorum martyrum historiam conscripsit Esaias Adabi filius, <Arzanita,> qui cum eques esset regis Persarum Saborii, et cum magorum principibus,* ut auditor tantum et spectator eorum quae fiebant, interesset atque ita omnia quae in hoc certamine contigerunt ab initio ad finem usque audisset et perspexisset, ea ad omnium aedificationem atque utilitatem et salutem litterarum monumentis mandavit, ut talem pro Christo virtutem omnes studeant imitari, cui gloria et imperium in saecula saeculorum. Amen.

* Fol. 107

II

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΙΩΝΑ ΚΑΙ ΒΑΡΑΧΗΣΙΟΥ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΩΝ.

1. * Σαβώριος ὁ Περσῶν βασιλεὺς δεινὸν κατὰ χριστιανῶν πνέων καὶ μανικὸν τοῖς ὑπ' αὐτὸν ἀρχι- * B. fol. 247 μάγοις ἐκέλευσε τὰ θυσιαστήρια Χριστοῦ πάντα τὰ κατ' ἐκείνην τὴν χώραν πυρὶ παραδίδοσθαι καὶ τοὺς εὑρισκομένους ἐν αὐτῇ Θεὸν κηρύττοντας τὸν Χριστὸν πειθομένους μὲν καὶ θυσίας ἡλίῳ προσάγοντας καὶ πυρὶ τιμαῖς δεξιοῦσθαι καὶ δώροις, τοὺς δέ γε μὴ κατανεύοντας τιμωρίαις ἐκδίδοσθαι καὶ βασάνοις πικραῖς. Κατὰ γοῦν τοὺς χρόνους ἐκείνους ὅτε δὴ καὶ Κωνσταντῖνος ὁ μέγας τῶν ῥωμαϊκῶν διίθυνε σκήπτρων τὴν ἐπικράτειαν, τοῦ περσικοῦ διωγμοῦ μέγα κατὰ χριστιανῶν, ὡς εἴρηται, πνέοντος, ἡ καλλίστη δυὰς τῶν ἁγίων, Ἰωνᾶ φημι καὶ Βαραχησίου, κώμην τινὰ κατοικοῦντες Ἰασσαν καλουμένην, τὰ περὶ τῶν διὰ Χριστὸν ἀθλούντων μανθάνοντες, οἵαις τε κολάσεσι μὴ θύειν * πειθόμενοι παρα- * Fol. 247v πέμπονται καὶ οἵαις ἄλλαις κακουχίαις τε καὶ θλίψεσι κατεργάζονται, ζήλῳ ῥωσθέντες τὰς ψυχὰς θείῳ τὸν τόπον ἐκεῖνον, ὅπου δὴ καὶ τὰς βασάνους ὑπέμενον οἱ διὰ Χριστὸν ἀθλοῦντες, κατέλαβον.

2. Κώμη δὲ ἦν οὕτω Βαρδιαβὼχ καλουμένη, ἐν ᾗ τῷ τὴν τήρησιν ἐπιτετραμμένῳ τῶν ἁγίων προσεντυχόντες, δώροις πείθουσι τοῦτον εἰς ἐπίσκεψιν αὐτῶν τὴν φυλακὴν εἰσελθεῖν· καὶ δὴ καὶ εἰσελθόντες ἄνδρας εὗρον ἐννέα τὸν ἀριθμόν, ὧν ἀναγκαῖον παραστῆσαι καὶ τὰ ὀνόματα· ἦσαν γὰρ Ζανιθᾶς, Λάζαρος, Μαρουθᾶς, Μάρης, Ἡλίας, Μέρσης, Ἄδιβος, Σιμβεήθης καὶ Σάβας οἱ τρισμακάριοι. Τούτους οὖν ἀσπασάμενοι καὶ τὰ διὰ Χριστὸν αὐτῶν καταφιλήσαντες τραύματα καὶ μακαρίους ἀποκαλέσαντες καὶ δὴ καὶ πρὸς τοὺς ἀγῶνας ἀλείψαντες, τοσοῦτον ἥδρασαν εἰς τὴν πίστιν, ὥστε καλῶς τὸν τοῦ μαρτυρίου δρόμον αὐτοὺς διανύσαντας ταῖς οὐρανίαις ἄρτι σκηναῖς ἐμφιλοχωρεῖν.

3. Τί οὖν τὸ ἐντεῦθεν; διαβάλλονται πρὸς τοὺς ἀρχιμάγους, ὡς οὔτε θύουσιν οὔτε τὰς προστάξεις Σαβωρίου τελοῦσιν οὔτε προσκυνεῖν ἀνέχονται πυρὶ καὶ ἡλίῳ καὶ ὕδατι, καὶ ὡς οἱ περὶ τὸν Ζανιθᾶν ὑπὸ τούτων ἠπάτηνται. Καὶ εὐθὺς ἄγονται πρὸς αὐτοὺς καὶ εἰς ἐρώτησιν ἔρχονται, τίνες ἄρα καὶ εἶεν καὶ ὅπως κατονομάζονται. Τῶν δὲ πάντα τὰ κατ' αὐτοὺς γνωρισάντων καὶ ὅτι χριστιανοὶ καὶ μοναχοὶ καὶ ὁ μὲν Ἰωνᾶς ὀνομάζοιτο, * θάτερος δὲ Βαραχήσιος, οἱ ἀρχιμάγοι· « Ποιεῖτε οὖν, εἶπον, τὸ θέλημα * Fol. 248 τοῦ βασιλέως, προσκυνεῖτε ἡλίῳ καὶ πυρὶ καὶ ὕδατι ἢ οὔ; » Καὶ οἱ ἅγιοι· « Καὶ τίνα δεῖ προσκυνεῖν, εἶπον, ὦ οὗτοι, καὶ τίνα φοβεῖσθαι, τὸν ποιητὴν τῶν στοιχείων τούτων Θεὸν ἢ τὸν ὁμόδουλον αὐτοῖς βασιλέα; πάντως τὸν Θεὸν νοῦν ἔχων ἄνθρωπος εἴποι· ὁ μὲν γὰρ ἀθάνατος καὶ ἀνώλεθρος καὶ οὔποτε λήγων· ὁ δέ γε βασιλεὺς ὑμῶν καὶ θνητὸς καὶ ζῶν πρὸς ὀλίγον. »

4. Θυμοῦνται τούτων ἀκούσαντες οἱ μάγοι καὶ ῥάβδοις ῥοῶν ὄζοις ἠκανθωμέναις διαστήσαντες τοὺς μάρτυρας ἀπ' ἀλλήλων τύπτεσθαι κελεύουσιν οἱ κατάρατοι. Τούτου δὲ γενομένου καὶ δεινῶς τῶν μαρτυρικῶν ἐκείνων σωμάτων καταξαινομένων ταῖς ῥάβδοις, ὁ Ἰωνᾶς μόνος τῷ βήματι τούτων αὖθις προσάγεται καὶ λόγοις πάλιν ἐκκαλεῖται παρὰ τῶν μάγων πρὸς τὴν ἀσέβειαν. Καὶ ἐπεὶ μὴ ἀρνήσασθαι πώποτε Χριστὸν ὁ καλὸς ἔλεγε μάρτυς, ὅτι αὐτός ἐστι, φησί, ἡ ἐλπὶς ἡμῶν καὶ τὸ στήριγμα, δεσμεῖται νόμῳ περσικῷ χεῖρας ἅμα καὶ πόδας ξύλου μέσον παρελαθέντος τῶν σχοίνων· καὶ ἦν οὕτω τῷ ἐδάφει προσκείμενος λίθος ὥσπερ ἀργός· ἀμετακίνητον γὰρ αὐτὸν τὸ ξύλον ἐποίει· καὶ ῥάβδοις ἐπὶ τοσοῦτον ῥοῶν ἠκανθωμέναις τυπτόμενος χαλεπῶς, ἕως αἱ πλευραὶ τῶν σαρκῶν γυμνωθεῖσαι τὰ ὀστᾶ παρεδήλουν, ναὶ δὴ καὶ αὐτὰ τὰ τοῦ μάρτυρος ἔγκατα. Πικρῶς οὖν οὕτω τιμωρούμενος δόξαν ἐδίδου Θεῷ· καὶ * μεγάλῃ φωνῇ τὸν Σαβώριον ἄδικον ἀπεκάλει καὶ τοὺς ὑπηρετουμένους αὐτῷ ναὶ δὴ καὶ τὰ στοιχεῖα * Fol. 248v μὴ θεοὺς ἔλεγεν εἶναι, ἀλλ' εἰς δουλείαν τῶν ἀνθρώπων ὑπὸ τοῦ μεγάλου καὶ ἀληθοῦς παρασχεθῆναι[1] Θεοῦ· τούτων οἱ ἀσεβεῖς ἀκούσαντες, σχοινίον αὐτοῦ τῶν ποδῶν ἐξαρτῶσι καὶ τῆς κόμης ἕλκουσιν ἔξω καὶ τῷ παγετῷ δι' ὅλης τῆς νυκτὸς ἐπιμεῖναι καταδικάζουσι, χειμερίου τότε τῆς ὥρας οὔσης καὶ πνοῆς βορέου δριμείας τὴν ὑγρὰν φύσιν εἰς λίθου μεταποιούσης ἀντιτυπίαν καὶ τὸ ἔμψυχον ἅπαν ἐπειγούσης πρὸς θάνατον.

4. — 1. *ita legendum videtur*; παρασθῆναι? R.

5. Οὕτως οὖν αὐτοῦ διανυκτερεύσαντος, τῇ ἐπαύριον οἱ μάγοι τὸν Βαραχήσιον εἰς τὸ βῆμα προάγουσι καὶ πρὸς αὐτόν· « Ἰδού, Βαραχήσιε, λέγουσιν, ὑπεῖξε τῷ θελήματι τοῦ βασιλέως ὁ Ἰωνᾶς· θῦσον τοίνυν καὶ αὐτὸς καὶ ἀπαλλάττου τῶν κολαζόντων σε. » Καὶ ὁ ἅγιος· « Θύσω καθὼς Ἰωνᾶς, ἔφη, τὴν αὐτὴν αὐτῷ προαίρεσιν ἔχων. » Ἔγνων ὡς οὐκ ἔλαθον οἱ μάγοι καὶ τότε μὲν αὐτὸν τῇ φυλακῇ παραδιδοῦσι. Νυκτὸς δέ, καθὰ δὴ καὶ Ἰουδαῖοι τὸν ἐμὸν Ἰησοῦν, ἐπὶ βήματος ἱστῶσι καὶ περὶ τῶν αὐτῶν ἀνακρίνουσι καὶ ἐπεὶ μὴ ἔπειθον, βώλους δύο χαλκοῦς ἐνεχθῆναι κελεύουσι πυρωθέντας σφοδρῶς καὶ δύο βάσεις πεπυρακτωμένας ὁμοίως· ἐν αἷς στήσαντες αὐτὸν καὶ τοὺς βώλους ταῖς αὐτοῦ μασχάλαις ἐνθέμενοί φασι (Fol. 249) πρὸς αὐτόν· « Τεκμήριον ἔστω σοι, Βαραχήσιε, τοῦτο, ὡς εἴγε τῶν βώλων εἷς ἐκπεσεῖταί * σου τῶν μασχαλῶν, ὡς ἀρνούμενος κατακριθήσῃ Χριστόν. » Καὶ ὁ μάρτυς· « Οὐ μὰ τὸν Χριστόν, οὐ τὸ πῦρ ὑμῶν χαυνῶσαί μου τὸν τόνον ἰσχύσει· γενναίως δὲ στήσομαι καὶ τὴν καῦσιν ὑπομενῶ δι' αὐτόν. Πλὴν ὁρκίζω ὑμᾶς κατὰ τοῦ βασιλέως ὑμῶν, εἴ τινα μείζονα ταύτης ἔχοιτε βάσανον, καὶ ταύτην μοι τάχος προσαγαγεῖν. » Τότε θυμοῦ πλησθέντες οἱ ἀσεβεῖς μόλυβδον πυρὶ λυθέντα τοῖς βλεφάροις αὐτοῦ καὶ τῇ ῥινὶ καὶ τῷ φάρυγγι φεῦ ἐγχεθῆναι κελεύουσιν· εἶτα τῷ δεσμωτηρίῳ πέμπουσι καὶ ποδὸς ἐξ ἑνὸς ἀπαρτῶσιν αὐτόν.

6. Γίνεται ταῦτα καὶ τὸν Ἰωνᾶν εἰς δικαστήριον ἄγουσιν· ἐρωτῶσί τε περὶ τῆς χαλεπῆς ἐκείνης νυκτός, ὡς διήγαγε ταύτην· εἶτα καὶ πεῖραν αὐτῷ προσάγουσιν· « Ὁ ἀδελφός σου, λέγοντες, Βαραχήσιος ἠρνήσατό σου τὸν Χριστόν. » Καὶ ὁ ἅγιος· « Οἶδα σαφῶς, ὡς τὸν ἀρχηγὸν ὑμῶν ἠρνήσατο δαίμονα καὶ τέλεον τῷ Χριστῷ προσηνέχθη. » Καὶ οἱ τύραννοι· « Μὴ ἀπολέσῃς σου κακῶς τὴν ψυχήν, εἶπον, ἀλλὰ ποίησον τὸ τοῦ βασιλέως πρόσταγμα καὶ ἀπολυθήσῃ τῆς ἐνοχῆς. » Ἐπεὶ οὖν πλεῖστα πρὸς αὐτοὺς διδάσκων ὡσανεὶ καὶ παιδεύων ἔφησε καὶ « ὅτιπερ ἐπ' εὐλογίαις σπείρω, ἐπ' εὐλογίαις δὴ καὶ θερίσω » καὶ τέλος συγκεφαλαιώσας τὸν λόγον· « Οὐκ ἀρνήσομαι τὸν Χριστόν μου, εἶπεν, μὴ γένοιτο· οὐ θύσω ἡλίῳ καὶ πυρὶ καὶ ὕδατι. » Ἐπεὶ ταῦτα γενναίῳ φρονήματι πρὸς τοὺς ἀρχιμάγους ἐλάλησε, τέμνεται φεῦ τῶν (Fol. 249v) χειρῶν * ἀπηνῶς καὶ τῶν ποδῶν τοὺς δακτύλους· εἶτα καὶ λόγοις παρὰ τῶν κακούργων εἰρωνικοῖς βάλλεται· « Ἕξεις, εἰπόντων, πολλοὺς δακτύλους, Ἰωνᾶ, κατὰ τὸν τοῦ θέρους καιρόν. » Καὶ ὃς πρὸς αὐτούς· « Ὁ πλάσας με, Θεός, εἶπεν, ἄρτιον αὐτὸς ἐν τῇ ἀναστάσει ποιήσει, καθὰ δὴ καὶ μὴ ὄντα παρήγαγε. »

7. Πλησθέντες οὖν ἐπὶ τούτοις θυμοῦ, λέβητα πίσσης βραζούσης ἐνεχθῆναι κελεύουσιν, αὐτοῦ δὲ τοῦ ἁγίου τὴν δορὰν περιαιρεθῆναι τῆς κεφαλῆς, εἶτα καὶ τὴν γλῶσσαν τμηθῆναι καὶ ταῦτα τῷ λέβητι προσαφεθῆναι, πρὸς τούτοις καὶ αὐτὸν τοῦτον ἐναπορριφῆναι τῇ πίσσῃ, δεινὸν οἷον ὡς εἴρηται βραζούσῃ καὶ φοβερόν. Τί οὖν γίνεται; ὡς μεγάλα, Κύριε, <καὶ[1]> θαυμαστά σου τὰ ἔργα καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. Ἐκχυθεῖσα γὰρ ἡ πίσσα τοῦ λέβητος ἀβλαβῆ τὸν μάρτυρα διεσώσατο. Τότε τοίνυν οἱ ἐπὶ κακίᾳ περιβόητοι μάγοι κοχλίᾳ τοῦτον ἐμβάλλουσι καὶ συντρίβουσιν, αὐτοῦ δεινῶς τῇ περιστροφῇ τὰ ὀστᾶ· εἶτα καὶ πρίουσιν αὐτὸν κατὰ μέσον καὶ λάκκῳ τοῦτον χωννύουσιν φθονοῦντες πάντως χριστιανοῖς τῆς τιμῆς. Τοῦτο τὸ τέλος καὶ τοιοῦτον τοῦ προφητωνύμου τούτου μάρτυρος Ἰωνᾶ, τοιοῦτοι οἱ ἀγῶνες, τοιαῦτα δὴ καὶ τὰ σκάμματα. Ἀλλ' ἐπανιτέον πρὸς τὸ προκείμενον.

8. Ὁ καλὸς μετὰ ταῦτα Βαραχήσιος ἐπὶ βήματος ἵσταται, πρὸς ὃν οἱ μάγοι· « Μὴ θελήσῃς, (Fol. 250) ἔφησαν, Βαραχήσιε, κακῶς καὶ σὺ * τὸ ζῆν ἀπορρῆξαι· ἀλλὰ ποίησον τὸ τοῦ βασιλέως πρόσταγμα καὶ ζῆσον καλῶς. » « Οὐκ ἂν ἔγωγε, πρὸς αὐτοὺς εἶπεν ὁ Βαραχήσιος, ἀνδρὸς ἐξουθενημένου καὶ παράνομα πράττοντος προστάγμασιν εἴξω ποτέ. » Θυμὸς ἐπὶ τούτοις ἔσχε τοὺς μάγους δεινός. Καὶ τί ποιοῦσιν; ἕλκουσιν ἐν ἀκάνθαις τὸν μάρτυρα, καλάμους σχίσαντες κατὰ τῶν αὐτοῦ τιθοῦσι σαρκῶν, λεπτοῖς ἱμᾶσι περισφίγγουσι τούτους, ἐξάγουσι σὺν βίᾳ τῶν δεσμῶν τοὺς καλάμους καὶ συνεξάγουσι τούτοις καὶ τὰς τοῦ μάρτυρος σάρκας· εἶτα τῷ κοχλίᾳ, ᾧ τὸν Ἰωνᾶν ἐνέβαλον, ἐμβάλλουσι τοῦτον καὶ συντρίβουσι φεῦ μέλος ἅπαν αὐτοῦ καὶ ὀστοῦν, — ὡς πονηρά σου, διάβολε, τὰ τεχνάσματα, — καὶ πίσσαν βράζουσαν ἐγχέουσιν αὐτοῦ τῷ λαιμῷ· οὗ δὴ γενομένου, θαυμάσιε καὶ καλλίνικε μάρτυς, καὶ αὐτὸς εἰς χεῖρας Θεοῦ ζῶντος τὸ πνεῦμά σου παρέθου καὶ τὸν ποθούμενον Ἰωνᾶν τὸ τάχος μηδὲ μικρὸν ἐθέλων ἀπολειφθῆναι κατέλαβες.

7. — 1. *suppl.; om.* B.

9. Ἀνὴρ δέ τις φίλος ἐς τὰ μάλιστα τὰ πάντιμα ὑμῶν ἐξωνησάμενος σώματα μιλιαρησίων τριῶν καὶ πεντακοσίων περσικῶν, ναὶ δὴ καὶ τῶν προμεμαρτυρηκότων ἐννέα, οὓς ὁ λόγος προλαβὼν ἐδήλωσε, φιλοτίμῳ ταφῇ παραδέδωκε καὶ θησαυρὸν θαυμάτων ἀνέκλειπτον χριστιανοῖς ἐχαρίσατο. Εἰκοστὴν ὀγδόην ἔτρεχεν ὁ μάρτιος μήν, καὶ νῦν οἰκοῦντες τοὺς οὐρανούς, ὦ παγγέραστοι, καὶ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι καὶ * πιστῷ καὶ τὰ πάντα καλῷ μῆκος ζωῆς ἀπή- * Fol. 250 μονος καὶ καλῶν ἀφθονίαν, ἰσχὺν κατ' ἐχθρῶν καὶ τροπαια καὶ νίκας, χεῖρα δυνατὴν κατ' αὐτῶν καὶ γενναίαν, ἀΰλων μονῶν πρὸς τούτοις κατοικίαν, ἡλίου φαῦσιν τοῦ νοητοῦ καὶ θείου λειμώνων, θείων τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν μετάληψιν ὄντως καὶ βασιλείας οὐρανῶν κληρουχίαν, ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

III

ΜΑΡΤΥΡΙΟΝ[1] ΤΗΣ ΑΓΙΑΣ ΦΕΡΒΟΥΘΗ[2] ΚΑΙ ΤΗΣ ΑΔΕΛΦΗΣ ΑΥΤΗΣ ΚΑΙ ΤΗΣ ΠΑΙΔΙΣΚΗΣ ΑΥΤΗΣ.

1. * Τῷ καιρῷ τῶν διωγμῶν ἡμῶν ἠσθένησεν ἄφνω ἡ βασίλισσα. Ἐπειδὴ δὲ πλήρης ἦν *M, fol. 133 ἡ καρδία αὐτῆς πρὸς τοὺς Ἰουδαίους, τοὺς ἐχθροὺς τοῦ σταυροῦ, ἡδέως δὲ αὐτῶν ἤκουεν ἕκαστα, λέγουσιν αὐτῇ προσελθόντες· « Διὰ τὸ ἀνῃρῆσθαι τὸν ἐπίσκοπον Συμεῶνα, τὸν[1] ἐπίκλην Ἰωνβαφαίων[2], αἱ ἀδελφαὶ αὐτοῦ ἐποίησάν σοι φάρμακα, ἵνα ἀποθάνῃς. » Ὡς δὲ ἔφθασε τὸ ῥῆμα εἰς τὸν βασιλέα, παραχρῆμα κατεσχέθη ἡ ἁγία Θερβοῦς[3] σὺν τῇ ἀδελφῇ καὶ παιδίσκῃ αὐτῆς. Ἦν δὲ ἡ Θερβοῦς ἀσκουμένη, ἀλλὰ καὶ ἀμφότεραι πολιτείαν ἐκέκτηντο καλλίστην ἐν Χριστῷ Ἰησοῦ· κατεπήχθησαν δὲ ἐν τῷ παλατίῳ ἐρωτηθῆναι. Ἐξῆλθεν δὲ κατὰ κέλευσιν τοῦ βασιλέως μαυπτάς[4], ὅ ἐστιν ἀρχιερεὺς τῶν μάγων, καὶ δύο μετ' αὐτοῦ ἄρχοντες, ἐπὶ τὸ ἀκοῦσαι αὐτῶν. Ὡς δὲ παρέστη ἔμπροσθεν αὐτῶν ἡ ἁγία Θερβοῦς[5]

Tit. — 1. μηνὶ τῷ αὐτῷ ε' (*scil. april.* 5) *praeit in* M; τῇ αὐτῇ ἡμέρα V. — 2. *in lemmate* Φερβουθή V, Φερβουθὶ M, *in corpore* Φερβοῦς V, Θερβοῦς M; παρθένου *add.* V.

1. — 1. τὸ V. — 2. Ἠϊωνβαφαίων M; Ἰογναφαῖον V, *lege* υἱὸν βαφέων. Cf. A, 59. n. 2. — 3. Φερβοῦς V. — 4. μαύτης *hic* V, *dein* μαύπτης: μαυπτὰ *hic* M. — 5. Φερβοῦς V.

PASSIO SANCTAE PHERBUTHAE ET SORORIS EIUS ET ANCILLAE EIUS.

1. * Tempore persecutionis nostrae, subito regina ipsa aegrotare coepit. * Fol. 133 Quoniam vero eius animus in Iudaeos, crucis Christi inimicos, admodum erat propensus, ac libenter quaecumque illi dixissent audiebat; reginam cum Iudaei audissent, illi suggesserunt, quoniam episcopus Symeon, cognomento Gnapheus, interfectus fuerat, propterea illius sorores venena reginae commiscuisse, quo ipsa mortem obiret. Ut vero sermo hic ad aures imperatoris pervenit, statim sancta Pherbuthe cum sorore et ancilla sua comprehensa fuit. Erat autem Pherbuthe illa virtutis exercitatione praestantissima; quin imo non minus eius soror, quam ipsa, vitae institutionem in Christo Iesu pulcherrimam adepta fuerat. Ductae igitur illae sunt ad palatium, ut de re illa interrogarentur. Exiit igitur imperatoris iussu mauptes, cuius nominis interpretatio

μετὰ τῶν σὺν αὐτῇ δύο, εἶδον τὸ κάλλος αὐτῆς — ἦν γὰρ ἀληθῶς ἡ ἁγία τῷ εἴδει ὡραία σφόδρα — καὶ παραχρῆμα ἐνεθυμήθησαν ἐν τῇ καρδίᾳ αὐτῶν ἕκαστος ἐπιθυμίαν πονηράν, κρύψαντες ἀπ' ἀλλήλων τὸ τοιοῦτον. Εἶπον δὲ αὐταῖς· « Ἵνα τί ἐποιήσατε φάρμακα τῇ βασιλίσσῃ[6] καὶ δεσποίνῃ τῆς ὅλης[7] οἰκουμένης; διὸ ἔνοχοι θανάτου ἐστέ. » Ἀποκριθεῖσα δὲ ἡ ἁγία Θερβοῦς[8] ἔφη[9] πρὸς αὐτούς· « Διὰ τί ἐπήγαγεν ἡμῖν ἀφορμὴν τοιαύτην ὁ Fol. 13[illegible] Σατανᾶς,[10] ἥτις ἀπέχει πολὺ τῆς ἀληθείας; καὶ ἵνα τί * ἀδίκως συκοφαντῆσαι ἡμᾶς βούλεσθε; εἰ γὰρ τὸ αἷμα ἡμῶν διψᾶτε, τίς ἐστιν ὁ κωλύων ὑμᾶς τοῦ πιεῖν αὐτό; καὶ εἰ ποθεῖτε τὴν σφαγὴν ἡμῶν, ἰδοὺ καθ' ἑκάστην ἡμέραν τὰς χεῖρας ὑμῶν μολύνετε εἰς αὐτήν, ἡμεῖς δὲ διὰ τὸν Θεὸν ἡμῶν χριστιαναὶ ἀποθανούμεθα, μὴ ἀρνησάμεναι αὐτόν, ὅτι αὐτός ἐστιν ἡ ζωὴ ἡμῶν, καθὼς γέγραπται ἡμῖν, ἕνα Θεὸν προσκυνεῖν καὶ αὐτῷ μόνῳ λατρεύειν· οὕτω γὰρ καὶ ποιοῦμεν· ἀλλὰ καὶ ἐν ἑτέρῳ γέγραπται· Γόης διὰ χειρὸς τοῦ λαοῦ ἀποθνησκέτω. Πῶς οὖν ἡμεῖς φάρμακα ἐποιήσαμεν; χεῖρον γὰρ τῆς εἰς Θεὸν ἡμῶν ἀρνήσεώς ἐστιν τοῦτο· καὶ γὰρ καὶ περὶ ἑκατέρων ὁμοίως θάνατος τοῖς ἐνόχοις ἠπείληται[11]. »

2. Ἤκουον δὲ αὐτῆς ἡδέως ἐπὶ τοσοῦτον ἀμφότεροι καὶ ἀπὸ τῆς ἐκστάσεως τοῦ τε κάλλους καὶ τῆς σοφίας αὐτῆς οὔτε λαλῆσαι ἠδύναντο, ἀλλ' ἕκαστος αὐτῶν ἐλογίζετο ἐν ἑαυτῷ λέγων· « Ἐγὼ παρακαλῶ τὸν βασιλέα, καὶ ῥυσάμενος αὐτὰς τοῦ θανάτου, λήψομαι

6. V, βασιλίδι M. — 7. (τ. ὁ.) πάσης τῆς V. — 8. Φερβοῦς V. — 9. εἶπεν V. — 10. (ὁ Σ.) V, *om.* M. — 11. ἠπείληται V.

est, pontifex magorum, et duo una cum illa magistratus, ut eas mulieres audirent. Ut vero coram illis stetit sancta Pherbuthe una cum duabus feminis, quae cum ipsa erant, viderunt eius pulchritudinem (erat enim revera sancta illa virgo specie admodum egregia) statimque suo quisque pravam animo concepit libidinem, inter se tamem talem libidinosam cogitationem occultabant. Illis igitur dixerunt : Quare vos machinatae estis veneficia reginae et dominae totius orbis terrarum? ob id nunc morti estis obnoxiae. Quibus sancta Pherbuthe respondit : Quare eam cogitationem Satanas vobis in Fol. 13[illegible] mentem coniecit, quae a veritate multum abhorret? et quare * iniuste vultis nos calumniari? Si nostrum sanguinem sititis, quisnam est qui prohibeat vos eum bibere? Si nostram caedem cupitis, ecce singulis diebus vestras manus coinquinatis? Nos vero propter Deum nostrum, ut christianos decet, morimur, non eum negantes quoniam ipse est vita nostra, quemadmodum scriptum est, ut unum Deum adoremus, et illi soli serviamus[1], ita enim et facimus. Quin et alibi scriptum est : Veneficus per manum populi sui moriatur[2]. Quomodo igitur nos veneficia machinatae sumus, cum non minus malum hoc sit, quam si Deum nostrum negaremus? Etenim pro utriusque peccati poena, illis qui huiusmodi criminibus obnoxii sunt, mors proposita est.

2. Cum haec Pherbuthe virgo diceret, libenter eam uterque audiebat. Cumque eius pulchritudinem et sapientiam illi obstupescerent, loqui non poterant, sed quisque secum ita cogitabat : Ego regem precabor, ut liceat a

1. Deuteron., VI, 13. — 2. Exod., XX, 27.

ταύτην ἐμαυτῷ εἰς γυναῖκα. » μόλις δὲ ὀψὲ γοῦν ποτε ὁ μαυπτὰς[1] ἔφη πρὸς αὐτήν· « Εἰ καθὼς λέγεις οὐκ ἔξεστιν ὑμῖν φάρμακον ποιῆσαι, ἵνα μή τις παραβάτης εὑρεθείη, ἀλλά γε ὑμεῖς διὰ τὸν τοῦ ἀδελφοῦ ὑμῶν θάνατον ὑπεραλγοῦσαι πεποιήκατε. » Καὶ πρὸς ταῦτα ἡ ἁγία Θερβοῦς[2] εἶπεν· « Τί γὰρ κακὸν ἔπαθεν ὁ ἀδελφός μου, ἵνα δι' αὐτὸν ἀπὸ Θεοῦ ζῶντος τὴν ζωὴν ἡμῶν ἀπολέσωμεν; εἰ γὰρ καὶ ὑμεῖς διὰ τὴν ὑμῶν πονηρίαν καὶ τὸν ζῆλον αὐτὸν ἀπεκτείνατε[3], ἀλλ' ἐκεῖνος ζῇ καὶ ἀγάλλεται εἰς τὴν ἐπουράνιον βασιλείαν, ἥτις βασιλεία τὴν ὑμῶν ἐξουσίαν καὶ βασιλείαν[4] καταργεῖ. » Καὶ ταῦτα αὐτῆς εἰπούσης, ἐκέλευσεν αὐτὰς ἐν τῷ δεσμωτηρίῳ ἀχθῆναι καὶ φυλάττεσθαι.

3. Γενομένης δὲ πρωίας, ἔπεμψεν ὁ μαυπτὰς πρὸς αὐτὴν λαθραίως καὶ εἶπεν αὐτῇ· « Θέλεις παρακαλέσω τὸν βασιλέα, καὶ ῥύσωμαι ὑμᾶς τοῦ θανάτου * καὶ γένῃ[1] μοι εἰς γυναῖκα; » Ἡ δὲ ἀθλοφόρος[2] ἀκούσασα τὰ ῥήματα ταῦτα, ἐξέστη καὶ ἐφοβήθη σφόδρα· εἶπεν δὲ πρὸς αὐτόν· « Φράξον τὸ στόμα σου, κύον[3] ἀκάθαρτε, ἐχθρὲ τοῦ θεοῦ καὶ πάσης ἀληθείας, καὶ μηκέτι προσθῇς τοῦ λαλῆσαι τὸ ἀκάθαρτον ῥῆμα τοῦτο εἰς τὰς ἐμὰς ἀκοάς· οὐ γὰρ εἰσέρχεται ταῦτα εἰς τὴν ἐμὴν διάνοιαν, μὴ γένοιτο. ἐπειδὴ ἅπαξ ἡρμόσθην τῷ δεσπότῃ Χριστῷ καὶ τὴν παρθενίαν μου αὐτῷ φυλάττω τήν τε πίστιν καὶ τὴν ἀλήθειαν αὐτῷ διατηρῆσαι σπουδάζω· δυνατός δέ ἐστιν ὁ μόνος ἀναμάρτητος ῥύσασθαί με ἐκ τῶν ἀκαθάρτων ὑμῶν χειρῶν καὶ λογισμῶν ῥυπαρῶν, ὧν ἐλογίσασθε κατ' ἐμοῦ. Οὐ μέντοι * Fol. 134

2. — 1. μαύπτας V, μαυπτὰς M *et ila deinceps*. — 2. Φερβοῦς V. — 3. ἀπεκτείνατε αὐτὸν V. — 4. βασιλείαν καὶ ἐξουσίαν V.

3. — 1. γίνη M. — 2. ἀθληφόρος M. — 3. κύων V.

morte illas eripere; itaque hanc uxorem ducam. Tandem mauptes illi hoc dixit : Quamvis, ut ipsa dicis, non liceat vobis veneficia commiscere, ne legem vestram violetis, tamen fratris vestri mortem dolentes, hoc fecistis. Et quodnam malum, inquit Pherbuthe, frater passus est, ut eius causa vitam illam, quae a Deo vivente proficiscitur, nos perdere vellemus? Nam etsi vos propter vestram pravitatem atque invidiam eum interfecistis, ille tamen vivit, et in caelesti regno exultat; quod regnum vestro imperio ac potestati sic praestat, ut prae illo vestrum istud inane quiddam sit. Haec cum illa dixisset, iussit illas in carcerem duci et custodiri.

3. Cum autem dies illuxisset, mauptes ille clam ad Pherbuthem misit, qui dicerent se paratum esse regem precari, et a morte illam et quae cum ipsa erant liberare, *modo eius uxor esse vellet. Virgo autem illa ἀθλοφόρος fortis et victrix cum haec audisset obstupuit. Ad eum autem : Comprime, inquit, os istud, canis impurissime, Dei et omnis veritatis inimice, neque amplius perge impura ista verba ad aures meas loqui, neque enim animus meus illa patitur. Deus avertat ne hoc unquam fiat, quoniam semel copulata sum cum Domino meo Christo, et virginitatem meam ipsi custodio, fidemque et veritatem ei praestare studeo. Ille enim, qui solus peccato liber est, me potest eripere ex impurissimis vestris mauibus et sordidis cogitationibus, quas contra me * Fol. 134

φοβοῦμαι ἀποθανεῖν οὐδὲ τὴν σφαγὴν δειλιῶ· ἡ δὲ ὁδός, ἥν[4] θέλετέ με πέμψαι, αὕτη ἀπάγει με πρὸς τὸν ἀδελφόν μου καὶ ἐπίσκοπον ἀγαπητὸν Συμεῶνα[5], ἵνα ἐκεῖ παρακληθῶ ἀπὸ τῶν θλίψεών μου καὶ στεναγμῶν, ὧν εἶδεν[6] ἡ ψυχή μου μετὰ τὸν θάνατον αὐτοῦ. » Ὁμοίως δὲ καὶ οἱ δύο ἄρχοντες ἔπεμψαν πρὸς αὐτὴν τὸ αὐτὸ τοῦτο δηλοῦντες· καὶ ὡσαύτως πάλιν μετὰ θυμοῦ καὶ ὀργῆς ἀποκριθεῖσα καὶ τούτοις, ἀπεκρούσατο αὐτούς[7].

4. Ἰδόντες οὖν ἀμφότεροι, ὅτι ἐνικήθησαν καὶ ἡ ἐπιθυμία αὐτῶν ἐματαιώθη, ἐποίησαν συμβούλιον οἱ τρεῖς καὶ ἐλάλησαν ὁμοῦ καταμαρτυρήσαντες αὐτῶν ἀδίκως καὶ εἶπον πρὸς τὸν βασιλέα οὕτως[1]· « Γοήτριαί εἰσιν. » Ὁ δὲ βασιλεὺς ἀκούσας, ἐκέλευσεν ἵνα, ἐὰν προσκυνήσωσι τῷ ἡλίῳ, μὴ ἀποθάνωσιν. Ὡς δὲ ἐπηγγέλθη αὐταῖς κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως προσκυνῆσαι τῷ ἡλίῳ, ἀπεκρίθησαν αἱ ἅγιαι καὶ εἶπον[1]· « Ἡμεῖς Θεὸν τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς προσκυνοῦμεν καὶ τὴν αὐτοῦ τιμὴν τῷ κτίσματι αὐτοῦ τῷ ἡλίῳ οὐ προσφέρομεν, ἀλλ' οὐδὲ ἀπὸ τῆς ἀγάπης τοῦ σωτῆρος ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ διὰ τὴν ἀπειλὴν ὑμῶν χωρισθῆναι δυνάμεθα. » Ὡς οὖν εἶπον ταῦτα, ὁμοθυμαδὸν
fol. 134r * οἱ μάγοι ἐβόησαν φωνῇ μεγάλῃ λέγοντες· « Ἀπολέσθωσαν αὗται ἐκ τῆς ὑπ' οὐρανόν· αὗται γὰρ ἐποίησαν τῇ βασιλίδι φάρμακα, ὥστε ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. » Καὶ παραχρῆμα ἐδόθη κατ' αὐτῶν ἀπόφασις τοιαύτη, ἵνα, οἵῳ ἂν βούλωνται[2] θανάτῳ οἱ μάγοι ἀποθανεῖν αὐτάς, ἀποθάνωσιν· ἔλεγον γὰρ οἱ ἀνόσιοι καὶ μιαροί, ὅτι, ἐὰν μὴ κοπῇ τὰ

4. εἰς ἣν V. — 5. Συμαιῶνα V. — 6. ἴδεν M. εἶδεν V. — 7. αὐτοῦς M.
4. — 1. εἶπαν V. — 2. βούλονται V.

cogitastis. Equidem mori non timeo, neque caedem formido. Haec enim via, in quam me vultis immittere, ducet me ad fratrem meum et episcopum dilectum Symeonem, ut illic gemitus et aerumnarum mearum consolationem inveniam; quibus aerumnis anima mea post eius obitum affecta est. Similiter autem et duo magistratus ad eam miserunt illud idem significantes, quibus irato animo et asperis verbis respondens, eos a se repulit.

4. Cum igitur uterque se victum sensisset ac suam libidinem non id assecutam, quod frustra tentaverat, animadvertisset, tres illi consilio inito adversus eas feminas locuti sunt, et iniustum testimonium dixerunt, quod mulieres illae essent veneficae. Cum imperator haec audivisset, praecepit ut, si solem adorarent, mortem evaderent. Ut autem nuntiatum illis fuit quod imperator iusserat ut solem adorarent, sanctae illae feminae hoc responderunt : Nos effectorem caeli et terrae adoramus eiusque honorem soli offerre nolumus, quippe qui eius Dei opus est quem nos colimus, quin etiam minae vestrae nunquam facient ut a caritate salvatoris et domini nostri Iesu Christi unquam separari possimus. Ut igitur haec illae eodemque animo dixerunt,
fol. 134r * magi voce magna clamantes : Dispereant, inquiunt, istae de terra, quae reginae venena pararunt, ut in morbum illa incideret et interiret. Statimque talis sententia contra illas lata est, ut qua morte vellent magi, feminae illae morerentur. Dicebant enim nefarii atque impuri homines quod nisi earum corpora

σώματα αὐτῶν εἰς δύο καὶ παρέλθῃ ἡ βασίλισσα διὰ μέσου αὐτῶν, θεραπευθῆναι οὐ δύναται. Ὡς δὲ ἐξέβαλον αὐτὰς ἵνα ἀποκτείνωσι, πάλιν ὁ μαυπτὰς ἀπαγομένων αὐτῶν ἔπεμψε πρὸς τὴν ἁγίαν λέγων· « Ἐὰν θέλῃς μου ἀκοῦσαι, οὔτε σὺ ἀποθνήσκεις οὔτε αἱ νεάνιδες. » Ἡ δὲ ἁγία μετὰ φωνῆς μεγάλης ὑβρίσασα αὐτὸν εἶπεν· « Κύον[3] ἀκάθαρτε, τίνος ἕνεκεν τοιαῦτα φθέγγῃ, ἃ μὴ ἀνέχομαι[4] ἀκοῦσαι; ἐγὼ γὰρ τελείως εὔχομαι ἀποθανεῖν, ἵνα ζήσω εἰς τὸν αἰῶνα· οὐ μὴ χαυνώσω ἐμαυτὴν εἰς τὴν ζωὴν τὴν πρόσκαιρον ταύτην, ἵνα μὴ ἀποθάνω θάνατον τὸν αἰώνιον. »

5. Ἐξαγαγόντες οὖν αὐτὰς πρὸ τῆς πόλεως, μιᾷ ἑκάστῃ αὐτῶν προσέπηξαν δύο πάλους, εἰς μὲν τὸν ἕνα τὸν τράχηλον δήσαντες, εἰς δὲ τὸν ἕτερον τοὺς πόδας, καὶ διατείναντες αὐτὰς εἰς αὐτοὺς ἑκάστην, κατενέγκαντες πρίονα τεκτονικὸν ἔπρισαν αὐτὰς εἰς μέρη δύο· καὶ πήξαντες ξύλα μεγάλα, τρία μὲν τῆς ὁδοῦ ἐντεῦθεν καὶ τρία ἐντεῦθεν, ἐκρέμασαν ἐπ' αὐτῶν τὰ ἅγια σώματα. Ὢ τοῦ φρικτοῦ καὶ φοβεροῦ θαύματος· πλήρης γὰρ[1] δακρύων καὶ κατανύξεως ἐκπλήξεώς τε καὶ στεναγμῶν τὰ γεγονότα. Εἴ τις οὐκ ἔχει δάκρυα, ἐλθέτω καὶ κλαυσάτω, κατανύξεως βρέχων τὸ σῶμα δάκρυσιν. Ἰδοὺ γὰρ σώματα τερπνὰ καὶ ἅγια θρίαμβος ἐγένοντο κατὰ τὴν ὁδόν, ἐφ' ἃ ἐφυλάχθη σεμνότης[2] καὶ παρθενία εἰς τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτῶν· ἡ ἐλευθερία ἐδόθη εἰς ὀνειδισμὸν τῶν τε πρᾳότητα καὶ δικαιοσύνην ἐν *ἰδίῳ θαλάμῳ ἀσκησασῶν ἰδοὺ ἡ δόξα πρόκειται εἰς ὕβριν. * Fol. 135
Ὢ πόσον μακροθυμεῖ ἡ δικαιοκρισία, ἀλλ' ὅταν ἀναστῇ τοῦ ἐκζητῆσαι, οὐκέτι συγ-

3. κύων V. — 4. ἀνίσχομαι M.
5. — 1. δακρύων γὰρ V. — 2. ἐφυλάχθησαν ἐν σεμνότητι V.

in duas partes secta fuerint, et regina ipsa per medias illas partes transierit, curari non poterit. Ut igitur eas eiecerunt interficiendas, denuo mauptes, dum mulieres abducerentur, mittens ad sanctam virginem Pherbuthem : Si vis, inquit, me audire, neque tu morieris neque puellae quae tecum sunt. Sancta vero Pherbuthe magna et aspera voce : Quare, inquit, impure canis, ea loqueris, quae ego audire non possum? Ego enim perfecte mori cupio, ut aeternam vitam habeam : nunquam huius brevis vitae causa remissior fiam, ne moriar morte sempiterna.

5. Cum igitur ante urbis portas mulieres illas duxissent, singulis duos palos fixerunt, in quorum uno collum ligantes, in altero vero pedes, et earum unamquamque illis protendentes, fabrilem serram inferentes, in duas partes eas secuerunt. Cumque ligna tria magna hinc et alia tria illinc in terram fixissent, sancta illa corpora in eis suspenderunt. O terribile et horrendum spectaculum! O factum lacrymis, compunctione, stupore et gemitibus plenum! Si quis lacrymas desiderat, veniat, eiulet et prae compunctione corpus lacrymis madefaciat. En ut corpora iucunda et sancta, velut triumphus quidam, in via proposita sunt. Corpora, inquam, illa in quibus sanctae feminae per totum vitae suae tempus honestatem et virginitatem servaverunt. Libertas data est in opprobrium earum, quae mansuetudinem et iustitiam in *proprio * Fol. 135

χωρεῖ ἢ οἰκτείρει. Ὦ πόσα τολμᾷ ἡ ὑπερηφανία, ἀλλ' ὅταν πέσῃ, οὐκ ἔχει θεραπείαν ἢ ὑπόστασιν. Ὄντως τὰ ξύλα ταῦτα τῶν ἁγίων καρποὶ δικαιοσύνης εἰσί· καὶ ὄντως οὗτοι λύκοι τῆς Ἀραβίας ἄσπλαγχνοι καὶ αἱμοπόται, οἱ πρίσαντές φημι καὶ κρεμάσαντες. Ἐνταῦθα κατανοήσας ὁ μακάριος προφήτης εἶπεν· Ἆρα ζῶντας ἂν κατέπιον ἡμᾶς ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς; ζῶντας εἰς ᾅδην κατήγαγεν ἡμᾶς; Ἆρα ἐχάρη τις ἐπὶ τῷ φοβερῷ τούτῳ ἔργῳ ἢ ἡδέως ἔσχεν τις τὸ φρικτὸν τοῦτο θέαμα; Ἆρα ἐνέβλεψέν τις, κἂν προσεῖδεν αὐτοῖς, ἀδακρυτί; Ἐγὼ μὲν οὐκ οἶμαι· εἰ δὲ καὶ ἄρα τολμήσας τις προσέσχεν ἐπὶ τῷ τοιούτῳ, τῆς ἡμετέρας οὐκ ἔστι φύσεως, ἀλλ' οὐδὲ τὸ γένος αὐτοῦ ἐκ τοῦ Ἀδάμ.

6. Ἤνεγκαν δὲ τὴν ἀθλίαν βασιλίδα τῇ ὁδῷ ἐκείνῃ, καὶ παρῆλθε διὰ τῶν ἁγνῶν σωμάτων καὶ πᾶσα παρεμβολὴ ὀπίσω αὐτῆς· προκένσον γὰρ εἶχεν ὁ βασιλεὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ἐτελειώθη δὲ[1] ἡ ἁγία Θερβοῦς[2] σὺν τῇ ἀδελφῇ καὶ τῇ παιδίσκῃ αὐτῆς τῇ πέμπτῃ τοῦ ἀπριλλίου μηνός, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καὶ ἀεὶ καὶ[3] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6. — 1. *om.* V. — 2. Φερβοῦς V. — 3. δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις M.

thalamo exercuerunt. En ut gloria in ignominiam proposita est! O quantum Dei iustum illud iudicium patiens est! Sed cum exsurrexerit ut rationes inquirat, non amplius condonabit neque miserebitur. O quantum audet superbia! Sed cum ceciderit non habet medicinam, neque consistit. Vere ligna haec, quibus sancta corpora fuere suspensa, fructus iustitiae sunt; isti autem vere lupi illi Arabiae, immisericordes, duri, et sanguinis voratores; illi, inquam, qui ea secuerunt et suspenderunt. Talem saevitiam beatus ille propheta considerans dicebat : Forte vivos deglutissent nos[1]. Et cum iratus esset, furor ipsius in nos, viventes in infernum deduxit nos[2]. Numquid aliquis re illa terribili laetatus est, aut aequo animo tulit spectaculum illud horribile? An aliquis ea sine lacrymis aspexit aut videre potuit? Opinor certe nemo. Quod si quis ea videre potuit, illum humanae naturae non opinor esse participem.

6. Tulerunt igitur miseram illam reginam in eam viam, feceruntque ut per casta et sancta illa corpora transiret, omnisque turma eam sequebatur; illo enim die imperator censum recipiebat. Consummata est sancta Pherbuthe cum sorore et ancilla quinto die mensis aprilis, in Christo Iesu Domino nostro, cui gloria et imperium et honor et adoratio in saecula saeculorum. Amen.

1. Psalm. CXXIII, 3. — 2. Numer., XVI, 30.

IV

ΜΑΡΤΥΡΙΟΝ[1] ΤΟΥ ΑΓΙΟΥ[2] ΣΑΔΩΘ ΕΠΙΣΚΟΠΟΥ[3] ΚΑΙ ΤΩΝ ΜΕΤ' ΑΥΤΟΥ ΡΚΗ' ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΕΝ ΤΩ ΔΕΥΤΕΡΩ ΕΤΕΙ ΤΟΥ ΔΙΩΓΜΟΥ.

1. *Μετὰ τὸ τελειωθῆναι τὸ μαρτύριον τοῦ ἁγίου Συμεῶνος ἐκληρονόμησεν τὸν ἀριθμὸν αὐτοῦ ὁ ἅγιος Σαδὼθ ἐν τῇ καλουμένῃ πόλει Σαλὴκ καὶ Κτησιφῶντι τῶν βασιλευουσῶν παρὰ Πέρσαις πόλεων· ὃς ἐν μιᾷ τῶν ἡμερῶν εἶδεν[1] ὅραμα φοβερὸν καὶ καθ' ἑαυτὸν θαυμάσας συνεκάλεσεν[2] τὸν κλῆρον αὐτοῦ, πρεσβυτέρους τε καὶ διακόνους· ἦσαν γὰρ κεκρυμμένοι διὰ τὸν φόβον τοῦ βασιλέως. Καὶ ἀρξάμενος διηγεῖσθαι αὐτοῖς εἶπεν· « Εἶδον ὄναρ ἐν τῇ νυκτὶ ταύτῃ τοιοῦτον[3], κλίμακα μετὰ δόξης πολλῆς ἱσταμένην[4], ἧς ἡ ἀρχὴ ἦν εἰς τὸν οὐρανόν. Ἵστατο δὲ ἐπ' αὐτῆς ὁ ἅγιος ἐπίσκοπος Συμεὼν μετὰ δόξης πολλῆς[3] καὶ[3] ἀπείρου· ἐγὼ δὲ ἱστάμην κάτω[4] εἰς τὴν γῆν. Καὶ καλέσας με[3] μετὰ χαρᾶς μεγάλης εἶπέν μοι· « Ἄνελθε « πρός μέ, Σαδώθ, ἄνελθε, μὴ φοβοῦ· καὶ γὰρ κἀγὼ[5] χθὲς ἀνέβην, σὺ δὲ σήμερον ἀνε- « λεύσῃ. » Καὶ ἀπὸ τῆς ὥρας ἐκείνης ἐπίστευσα, ὅτι εἰς τὴν τιμίαν[3] καὶ[3] καλλίστην τοῦ Χριστοῦ[6] ὁμολογίαν καταλείψομαι[7]· τὸ δὲ εἰρῆσθαι παρ' αὐτοῦ ὅτι[3] ἐγὼ χθὲς ἀνέβην, σὺ δὲ σήμερον ἀνελεύσῃ, σημαίνει ὅτι αὐτὸς μὲν[3] πέρυσι[8] ἐμαρτύρησεν, ἐγὼ δὲ ἐφέτος[9]

* W, fol. 186

Tit. — 1. ἄθλησις P. — 2. μεγαλομάρτυρος *add.* P. — 3. γεγονότος *add.* P.

1. — 1. ἴδεν W, P. — 2. συνεκαλέσατο P. — 3. *om.* P. — 4. (l. κ.) κάτω εἰστήκειν P. — 5. ἐγὼ P. — 6. *corr. supra lin.* P. — 7. W, P, *forte legendum* καταλείψομαι. — 8. πέρισυ W. — 9. ἐφέτως P, ἐφέτω W.

MARTYRIUM SANCTI SADOTH EPISCOPI

ET CENTUM VIGINTI OCTO QUI CUM EO SUBIERE MARTYRIUM IN SECUNDO ANNO PERSECUTIONIS.

1. *Postquam sancti Symeonis fuit perfectum martyrium, eius loco successit sanctus Sadoth in civitate quae dicitur Salec et Ctesiphon, quae sunt regiae apud Persas civitates. Is quodam die vidit visionem terribilem; et apud se miratus, convocavit clerum suum, presbyteros et diaconos; erant enim occulti propter timorem regis. Et incipiens eis narrare, dixit : Vidi hac nocte in somnis scalas stantes cum magna gloria, quarum principium erat in caelo; super eas autem stabat sanctus episcopus Symeon cum magna et infinita gloria. Ego vero stabam infra in terra, et me vocans cum magno gaudio, dixit mihi : Ascende ad me, Sadoth, ascende, ne timeas; ego enim heri ascendi, tu autem cras ascendes. Ab illa vero hora credidi fore ut assumar ad venerandam et pulcherrimam Christi confessionem. Quod autem dixit : Ego heri ascendi, tu vero cras ascendes, significat eum quidem anno superiore subiisse martyrium, me autem hoc anno futurum martyrem et

* Fol. 186

μαρτυρήσω καὶ ἀποκτανθήσομαι. » Καὶ ἤρξατο νουθετεῖν αὐτοὺς καὶ[10] παρακαλεῖν[11] ἐκ τῶν θείων γραφῶν, ἔλεγεν δὲ οὕτως· « Ἀδελφοί μου ἀγαπητοὶ καὶ πατέρες[12], τὸν Θεὸν ἀγαπήσωμεν ἐξ ὅλης τῆς ψυχῆς, καὶ τὸν κύριον[13] Ἰησοῦν Χριστὸν ἐξ ὅλης τῆς διανοίας· καὶ ἐνδυσάμενοι θώρακα πίστεως οὐ φοβηθησόμεθα ἀπὸ παντὸς κακοῦ. Ὁ θάνατος δὲ καὶ ἡ σφαγὴ ἐὰν ἔλθῃ καθ' ἡμῶν καὶ φθάσῃ ἡμᾶς, μὴ δειλιάσωμεν, ἀλλ' ἕκαστος ἡμῶν ὡς δυνατὸς καὶ ἰσχυρὸς πολεμησάτω καὶ ὡς τέλειος ἀγωνιστὴς ἀγωνισάσθω[14]· εἰ γὰρ[15] καὶ ἀποθάνωμεν, ὡς τέλειοι ἀποθάνωμεν· κἄν τε ζήσωμεν, ὡς δίκαιοι ζήσωμεν· εἰ δὲ καὶ ἀποθάνωμεν[16], ἀποθάνωμεν διὰ τὸν σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν· ἐφ' ὅσον οὖν[17] τὸ ξίφος ζωὴν δίδωσιν, δεῦτε, καὶ ἁρπάσωμεν· καὶ ὡς ἡ ῥομφαία αὐγάζεται, σπουδαίως πλουτήσωμεν τὴν αἰώνιον ζωήν[18]. Ἐν ὅσῳ γὰρ[19] ἐστιν ἡμέρα, ὀξυποδήσωμεν εἰς τὴν μονὴν τῆς ἐπουρανίου βασιλείας, ἵνα τιμὴν περισσοτέραν[17] καὶ δόξαν αἰώνιον[17] κληρονομήσωμεν καὶ πάσῃ τῇ ἐρχομένῃ γενεᾷ τὸ ὄνομα ἡμῶν καὶ τὴν δόξαν καταλείψωμεν. Εὐξώμεθα, ἀδελφοί, τῷ Θεῷ ἡμῶν τάχιον πληρῶσαι τὸ ὅραμα[20] τοῦτο ἡμῖν· καὶ γὰρ μετὰ χαρᾶς καὶ πόθου καὶ ἀγάπης πολλῆς[17] δέχεται ὁ πνευματικὸς τὴν παρουσίαν τοῦ τοιούτου θανάτου· καὶ οὐ δεδιέναι[21] ἄν τις ἕτοιμος καὶ ἐμπαράσκευος ὑπάρχων. Φοβερὰ δὲ καὶ φρικτή ἐστιν σαρκικῶς ἡ τούτου παρουσία· ὁ πνευματικὸς οὐ δέδιε[22] τὸν θάνατον, πολιτείαν πνευματικὴν κεκτημένος· ὁ δὲ σαρκικὸς ἰλιγγιᾷ καὶ τρέμει, σαρκικὴν ἔχων καὶ[23] τὴν πολιτείαν. Οἱ πρόθυμοι καὶ σπουδαῖοι κατεδίωξαν τὸν τοιοῦτον θάνατον, ἵνα ζωὴν ἀπ'

10. ν. α. καὶ *om.* P. — 11. αὐτοὺς *add.* P. — 12. ἀγ. καὶ π. *om.* P. — 13. ἡμῶν *add.* P. — 14. ἀγωνισάτω W, P. — 15. δὲ P. — 16. (κἄν-δὲ **καὶ** ἀποθάνωμεν) *om.* P. — 17. *om.* P. — 18. τ. α. ζ. *om.* P. — 19. δὲ P. — 20. ὅρομα W. — 21. W, P, *forte* δεδιείη. — 22. δέδειεν W, δεδιέναι P. — 23. *om.* P.

occidendum. Coepitque eos admonere et adhortari ex sacris scripturis, dicens : Fratres mei dilecti et patres, Deum amemus ex tota anima[1], et Dominum Iesum Christum ex tota mente, et induti lorica fidei[2], non timebimus omne malum. Mors autem et caedes si ad nos venerit, non formidemus, sed unusquisque nostrum bellum gerat pro viribus, et decertet ut perfectus athleta. Nam sive moriamur, moriemur ut perfecti, sive vivamus, vivemus ut iusti. Quod si etiam moriamur, moriamur propter nostrum servatorem Iesum Christum. Cum ergo ensis det vitam, adeste et eam rapiamus; et quando micat gladius, aeternae vitae opes nobis comparemus. Quamdiu enim est dies, celeri pede pergamus ad mansionem regni coelestis, ut abundantiorem honorem et gloriam aeternam consequamur, et omni futurae generationi nobis nomen et gloriam relinquamus. Fratres, oremus Deum nostrum, ut cito nobis impleat hanc visionem. Nam cum gaudio et desiderio et magno amore accipit spiritalis adventum talis mortis, neque timuerit aliquis qui fuerit praeparatus. Carnali autem est terribilis et formidandus eius adventus. Spiritalis non timet mortem, ut qui vitam possideat spiritalem. Carnalis vero caligat et tremit, ut qui carnalem vitam habeat. Qui sunt viri boni promptoque et alacri animi studio, talem mortem persequuntur, ut ex ea

1. Matth., XXII, 37. — 2. Ephes., VI, 14, 16.

αὐτοῦ τὴν ἀΐδιον κληρονομήσωσιν· οἱ δὲ χαῦνοι καὶ ὀκνηροὶ ἰδόντες αὐτήν, ἀπεκρύβησαν· οἱ ἀγαπῶντες τὸν Θεὸν πρὸς τὸν Θεὸν ἀπεδήμησαν, οἱ δὲ τὸν κόσμον, ἔμειναν ἐν τῷ κόσμῳ, οἱ μὲν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν ἀναλύσαντες, οἱ δὲ εἰς θλίψεις καὶ στεναγμοὺς ἀναμένοντες. »

2. Ἐν δὲ[1] τῷ δευτέρῳ[2] τοίνυν ἔτει τοῦ διωγμοῦ ἡμῶν παρεγένετο Σαβώριος ὁ βασιλεὺς τῶν Περσῶν[3] ἐν τῇ λεχθείσῃ πόλει Σαλὴκ καὶ Κτησιφῶν[4] καὶ κατηγορήθη αὐτῷ ὁ ἐπίσκοπος καὶ ἀθλοφόρος[5] Σαδὼθ, ὅπερ ἐστὶν μεθερμηνευόμενον φιλοβασιλεύς· οὕτως γὰρ ἦν ἀγαπήσας τὸν ἐπουράνιον βασιλέα Χριστὸν[1] ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ καὶ δυνάμεως. Ὅσιος γὰρ ὁ ἅγιος Σαδὼθ[1] καὶ τέλειος, ἐγκρατὴς καὶ πλήρης πίστεως καὶ δικαιοσύνης ὑπάρχων[1], μιμητὴς γέγονε[6] τοῦ ἁγίου Συμεῶνος, οὗπερ καὶ ἦν διάδοχος. Πέμψας οὖν ὁ βασιλεὺς Σαβώριος[1] ἐκράτησεν αὐτὸν σὺν τῷ κλήρῳ αὐτοῦ μετὰ καὶ ἑτέρων κληρικῶν τῆς περιοικίδος καὶ ἀσκητῶν καὶ ἀσκητριῶν τὸν[1] ἀριθμὸν[1] ἑκατὸν εἴκοσι ὀκτώ. Καὶ πάντες ὁμοῦ δεθέντες ἁλύσεσιν σιδηραῖς κατεκλείσθησαν ἐν τῷ δεσμωτηρίῳ[7] ἐν τόπῳ σκοτεινῷ καὶ πικρῷ ἐπὶ μῆνας πέντε, θλίψεις μεγάλας καὶ ποικίλας ἀνάγκας ὑπομείναντες. Οἱ γὰρ ἄθεοι καὶ ἄνομοι[8] περιθέντες αὐτοῖς σχοινία εἰς τὰς κνήμας καὶ ψύας καὶ τοὺς ὤμους καὶ[1] κατασφίγγοντες ξύλοις, ἐπὶ τοσοῦτον συνέτειναν αὐτοὺς καὶ ἐβασάνισαν[9], ὥστε τὰ ὀστᾶ αὐτῶν οἱονεὶ φορτία ξύλων σφιγγόμενα τρισμὸν ἀποτελεῖν καὶ μέγιστον πόνον ἐμποιεῖν[10]. Βασανίζοντες δὲ αὐτοὺς σφοδρῶς καὶ ἀνελεημόνως[11] ἔπελεγον αὐτοῖς· « Προσκυνήσατε τῷ ἡλίῳ καὶ ποιήσατε τὸ

2. — 1. *om.* P. — 2. οὖν *add.* P. — 3. Σ. ὁ βασιλεὺς παρεγένετο P. — 4. W, P, *supra. n. 1* Κτησιφῶντι. 5. ἐ. κ. ἀ. ἀθλοφόρος ἐπίσκοπος P. — 6. γεγονὼς P. — 7. ἐν τῷ δ. κ. P. — 8. ἄνομοι καὶ ἀθ. P. — 9. κ. ἐ. *om.* P. — 10. καὶ μ. π. ἐμπ. *om.* P. — 11. σφ. κ. ἀν. *om.* P.

vitam aeternam possideant. Qui sunt autem ignavi et pigri, iis ea visa se absconduut. Qui Deum diligunt, ad Deum excesserunt; qui vero mundum, manent in mundo, illi quidem resoluti ad laetitiam et exultationem, hi autem ad afflictiones manentes et suspiria.

2. Secundo autem anno nostrae persecutionis venit Sapores rex Persarum in dictam civitatem Salec et Ctesiphontem: et apud eum fuit accusatus episcopus et athleta Sadoth, quod quidem interpretatum idem est quod regis amicus: revera enim dilexerat caelestem regem Christum ex tota anima sua et totis viribus. Sanctus enim Sadoth et cum esset perfecte continens, plenusque fide et iustitia, fuit imitator sancti Symeonis cuius erat successor. Mittens ergo rex Sapores, eum comprehendit cum clero suo et cum aliis clericis finitimae regionis et monachis, numero centum viginti octo, et omnes simul vincti catenis ferreis inclusi sunt in carcere, in loco obscuro et tetro, quinque mensibus sustinentes magnas afflictiones. Impii enim eorum tibiis impositis funibus lumbisque et umeris, lignisque constringentes eos usque adeo contenderunt et torserunt, ut ossa eorum non secus atque ossa lignorum quae constringuntur, stridorem emitterent, et magnum eis dolorem afferrent. Eos autem valde torquentes et immisericorditer, eis subinde dictitabant :

θέλημα τοῦ βασιλέως καὶ ζήσεσθε. » Ἀποκριθεὶς δὲ ὁ ἅγιος Σαδὼθ ὡς ἐκ στόματος πάντων εἶπεν· « Ἡμεῖς οἱ χριστιανοὶ[12] εἰς μίαν πίστιν καὶ μίαν δύναμιν καὶ ἀλήθειαν <ὁμοίως μίαν[13]> πιστεύομεν καὶ ἓν μαρτύριον μαρτυροῦμεν καὶ ἕνα θεὸν προσκυνοῦμεν τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ αὐτῷ λατρεύομεν ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς[4] δυνάμεως ἡμῶν· τῷ δὲ ἡλίῳ κτίσματι αὐτοῦ ὄντι οὐ προσκυνοῦμεν, ἀλλ' οὐδὲ τὸ πῦρ τιμῶμεν — ὁ γὰρ ποιήσας αὐτὰ Θεὸς[5] αὐτὸς ἔδωκεν εἰς λειτουργίαν ἡμῖν τοῖς ἀνθρώποις — καὶ παραβάται κατὰ τὸ πονηρόν σου διάταγμα ἡμεῖς οὐ γινόμεθα· ὅθεν[14] παρὰ σοῦ μὲν[14] ὁ θάνατος, παρ' ἡμῶν δὲ[14] ἡ ζωὴ αὕτη ἡ πρόσκαιρος. Μὴ οὖν μακροθυμήσῃς ὥραν μίαν ἐν τῇ σφαγῇ ἡμῶν μηδὲ φείσῃ τῶν ὀφθαλμῶν σου ἐκχέαι τὸ αἷμα ἡμῶν. Ἡ γὰρ ἐφ' ἡμᾶς μακροθυμία σου καὶ φειδὼ ἀπωλείας πρόξενος ἡμῖν γίνεται. » Πάλιν οὖν[14] ἐρρέθη τοῖς ἁγίοις[15] ὡς ἐκ στόματος τοῦ βασιλέως· « Ἐὰν τὸ θέλημά μου μὴ ποιήσητε καὶ τῶν προσταγμάτων μου μὴ ἀκούσητε, ἰδοὺ ἔφθασεν ἐφ' ὑμᾶς ἡ κακίστη ὥρα τῆς ἀπωλείας ὑμῶν. » Καὶ ἀποκριθέντες οἱ ἅγιοι ὡς ἐξ ἑνὸς στόματος εἶπον· « Ἡμεῖς οὐκ ἀπολλύμεθα παρὰ[14] τῷ Θεῷ ἡμῶν οὐδὲ ἀποθνήσκομεν ἐν[14] τῷ Χριστῷ αὐτοῦ, ἀλλὰ[14] ζωοποιεῖ[16] ἡμᾶς τῇ μακαρίᾳ καὶ[17] αἰωνίῳ αὐτοῦ ζωῇ καὶ δίδωσιν ἡμῖν εἰς κληρονομίαν καὶ ἀνάπαυσιν τὴν ἀθάνατον καὶ ἀτελεύτητον αὐτοῦ βασιλείαν[18]. Τὸ λοιπὸν[19] ὀξέως ἐπάγαγε ἐν ἡμῖν τὸν θάνατον[20], ἑτοίμως καὶ προθύμως ἔχουσιν διὰ τὸν Θεὸν ἡμῶν ἀποθανεῖν. Οὔτε

12. οἱ χ. *om.* P. — 13. P. *om.* W. — 14. *om.* P. — 15. αὐτοῖς P. — 16. γὰρ *add.* P — 17. μ. κ. *om.* P. — 18. (καὶ ἀνάπ.- βασιλείαν) τὴν βασιλείαν αὐτου P. — 19. (τ. λ.) τὸν οὖν θάνατον P. — 20. τ. θ. *om.* P.

Adorate solem, et facite voluntatem regis et vivetis. Respondens vero sanctus Sadoth tanquam ex ore omnium dixit : Nos Christiani in unam fidem et unam potentiam et veritatem credimus, et unum testamur testimonium et unum Deum adoramus, et factorem caeli et terrae, et ei servimus ex tota anima et potestate nostra. Solem autem qui fuit ab eo creatus non adoramus. Sed nec ignem honoramus. Qui enim ea fecit Deus, ipse ad ministerium dedit nobis hominibus, nec ex tuo scelerato edicto evadimus transgressores ex quo mors nobis a te imminet, quae nos ab hac caduca vita liberans ducit ad vitam aeternam. Ne ergo vel tantillum distuleris nos occidere neque parcas ante tuos oculos effundere nostrum sanguinem. Tua enim in nos lenitas et patientia nobis procurat interitum. Rursus ergo dictum est sanctis tanquam ex ore regis : Si voluntatem meam non feceritis, et edicta mea non audieritis, ecce ad vos pervenit pessima hora vestri interitus. Respondentes autem sancti tanquam uno ore dixerunt : Nos non perimus apud Deum nostrum, neque morimur in Christo eius, sed nos vivificat beata et aeterna sua vita et dat nobis ad haereditatem et requiem, immortale regnum et quod nunquam terminatur. De cetero nobis celeriter affer mortem, qui parati sumus prompto et alacri animo mori propter Deum nostrum. Neque enim solem adoramus, neque ignem,

γὰρ τῷ ἡλίῳ προσκυνοῦμεν οὔτε τῷ πυρὶ οὔτε[21] τοιούτων ἀνόμων[11] προσταγμάτων ἀκούομεν τοῦ βασιλέως[22], ἐπεὶ[23] θανάτου[24] καὶ ἀπωλείας γέμουσιν. »

3. Ἰδόντες τὸ στεῤῥὸν καὶ ἀκλινὲς τῆς πίστεως αὐτῶν καὶ ὁμολογίας, ἔδωκαν κατ' αὐτῶν τὴν ἀπόφασιν[1]. Ἀκούσαντες δὲ οἱ τρισμακάριοι τοῦ Χριστοῦ μάρτυρες[2], ὅτι ἐδόθη κατ' αὐτῶν ἡ διὰ τοῦ[3] ξίφους ἀπόφασις, ὥστε πάντας ὁμοῦ ἀποτμηθῆναι, ἡτοίμασαν ἐνισχύσαντες ἑαυτοὺς πρὸς τὴν σφαγὴν καὶ τὸν θάνατον. Οἱ δὲ τοῦ βασιλέως ἄρχοντες καὶ πιστικοὶ ἐξέβαλον αὐτοὺς δεσμώτας ἔξω τῆς πόλεως· οἱ δὲ ἅγιοι[3] μάρτυρες[3] μετὰ χαρᾶς πολλῆς[3] καὶ εὐφροσύνης[3] ἔψαλλον καὶ ἔλεγον οὕτως[3]· « Κρῖνον ἡμῖν[5] ὁ Θεὸς καὶ δίκασον τὴν κρίσιν ἡμῶν ἐξ[3] ἔθνους οὐχ ὁσίου καὶ ἀπὸ ἀνθρώπων δολίων καὶ αἱμοποτῶν σῶσον ἡμᾶς, ὅτι σὺ ὁ Θεὸς κραταίωμα ἡμῶν[3] εἶ καὶ ἐλπίς[6]. » Καὶ ὡς ἔφθασαν τὸν τόπον, ἔνθα ἤμελλον τελειοῦσθαι, ὁμοθυμαδὸν ἀνοίξαντες τὰ στόματα αὐτῶν εἶπον· « Εὐλογητὸς εἶ, ὁ Θεός, ὁ καταξιώσας ἡμᾶς εἰς τὴν χάριν ταύτην καὶ μὴ ὑπεριδὼν τὴν δέησιν ἡμῶν, ἀλλὰ δοὺς ἡμῖν τὸν πολύτιμον τοῦτον[7] στέφανον τοῦ μαρτυρίου[8]· οἶδας γάρ, δέσποτα, πῶς αὐτὸν ἐζητοῦμεν. Καὶ εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ μονογενὴς υἱὸς τῆς σῆς ἀγαθότητος, ὁ σώσας ἡμᾶς καὶ καλέσας εἰς τὴν ζωὴν τὴν αἰώνιον. Μὴ οὖν[9] ἐάσῃς ἡμᾶς, Κύριε[3], θλιβῆναι εἰς τὸν κόσμον τοῦτον, ἀλλὰ βεβαίωσον[10] ἐνώπιόν σου εἰς τὸν αἰῶνα διὰ τὴν σὴν φιλανθρωπίαν, καὶ καταξίωσον[11] ἡμᾶς εἰς τὸ τίμιον[3] βάπτισμα τοῦ αἵματος ἡμῶν

21. τ. π. οὔτε *om.* P. — 22. τ. β. ἀκούομεν P. — 23. ἐπὶ P, W. — 24. θανάτω P, W.

3. — 1. (ἰδόντες-ἀπόφασιν) *om.* P. — 2. (οἱ-μάρτυρες) *om.* P. — 3. *om.* P. — 4. οὕτως *add.* P. — 5. *ita* P, W. — 6. ἡμῶν *add.* P. — 7. π. τ. *om.* P. — 8. (τ. μ.) τοῦτον P. — 9. (μὴ οὖν) καὶ μὴ P. — 10. βεβαιώσας P. — 11. καταξιώσας P.

neque audimus haec iniqua iussa regis, quoniam sunt plena morte et interitu.

3. Cum autem vidissent stabilitatem et constantiam eorum fidei et confessionis, tulerunt in eos sententiam. Cum vero audivissent beati Christi martyres in se datam esse sententiam, ut omnes simul gladio ferirentur, se forti animo pararunt ad caedem et ad mortem. Regis autem magistratus eos vinctos eiecerunt extra civitatem. Sancti vero martyres cum magno gaudio et laetitia sic psallebant et dicebant : Iudica nos Deus et discerne causam nostram a gente non sancta et ab hominibus dolosis et qui bibunt sanguinem serva nos, quoniam tu es fortitudo nostra et spes nostra[1]. Cum autem pervenissent ad locum in quo erant consummandi, uno animo ora sua aperientes dixerunt : Benedictus es Deus qui nos dignatus es hac gratia, et non nostras preces habuisti contemptui, sed dedisti nobis hanc pretiosissimam coronam martyrii. Scis enim, Domine, nos eam quaesivisse. Et benedictus Deus noster unigenitus filius tuae bonitatis, qui servavit nos et vocavit ad vitam aeternam. Ne sinas ergo nos, Domine, affligi in hoc mundo, sed confirma coram te in aeternum propter tuam clementiam, et dignare nos lavari in pretioso baptismo sanguinis nostri, quoniam tu es solus Deus

1. Psalm. XLII, 1, 2.

λουθῆναι, ὅτι σὺ μόνος ὑπάρχεις δεδοξασμένος Θεὸς καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ πανάγιόν σου Πνεῦμα εἰς τοὺς αἰῶνας, ἀμήν. » Ταῦτα τοίνυν εὐξάμενοι οἱ μακάριοι ἀνῃροῦντο ὑπὸ τῶν παρανόμων. καὶ οὐκ ἐπαύσατο ἐκ τοῦ στόματος αὐτῶν ἡ δοξολογία, ἕως οὗ καὶ ὁ πάντων ἔσχατος ἀνῃρέθη [12].

4. Ἐτελειώθησαν δὲ οἱ ἅγιοι ρκη'[1] μάρτυρες μηνὶ φεβρουαρίῳ εἰκάδι[2]. Τὸν δὲ τίμιον καὶ ἔνδοξον ἐπίσκοπον καὶ ἀθλοφόρον Σαδὼθ[3] ἀνήγαγον δεδεμένον εἰς πατρίδα ἑτέραν, καλουμένην Βεθουζᾶν, ἐν πόλει καλουμένῃ Βηθλαπάτ· κἀκεῖ αὐτοῦ ἀπέτεμον τὴν τιμίαν καὶ ἁγίαν[4] κεφαλήν. Ἐτελειώθησαν δὲ[5] πάντες οἱ ἅγιοι καὶ[5] ἔνδοξοι μάρτυρες ἐν εἰρήνῃ, ὑμνοῦντες καὶ δοξολογοῦντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς[6] αἰῶνας τῶν αἰώνων, ἀμήν.

12 (λουθῆναι-ἀνῃρέθη) καὶ ἕως οὗ ὁ πάντων ἔσχατος ἀνῃρέθη οὐκ ἐπαύσατο ἐκ τοῦ στόματος αὐτῶν ἡ δοξολογία P.
4. — 1. οὗτοι P. — 2. εἰκάδι β' τοῦ φεβρουαρίου μηνός P. — 3. (τὸν δὲ-Σαδὼθ) τὸν ἀθλοφόρον δὲ ἐπίσκοπον P. 4. τ. καὶ ἁγ. *om.* P. — 5. *om.* P. — 6. (ἅμα-τοὺς) μεγαλωσύνη καὶ μεγαλοπρέπεια εἰς τοὺς ἑξῆς ἅπαντας P.

V

fol. 52

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ[1] ΑΒΡΑΜΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ[2] ΑΡΒΗΛ ΤΗΣ ΠΕΡΣΙΔΟΣ[3].

1. * Ἐν τῷ πέμπτῳ ἔτει τοῦ καθ' ἡμᾶς διωγμοῦ κατεσχέθη ὁ ἁγιώτατος ἐπίσκοπος Ἀβράμιος τῆς πόλεως Ἀρβὴλ κατὰ κέλευσιν τοῦ ἀρχιμάγου Ἀδερφορᾶ[1], τῆς πατρίδος δὲ

Tit. — 1. ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν P. — 2. *om.* P, μαρτυρήσαντος ἐπὶ J. — 3. τῆς Περσίδος *om.* P, εὐλόγησον πάτερ *add.* J.
1. — 1. Ἀδερφωρᾶ P.

glorificatus, et unigenitus tuus filius, et sanctissimus tuus spiritus in saecula. Amen. Haec cum precati essent beati, interempti fuerunt ab iniquis neque cessavit ex ore eorum glorificatio, donec ultimus fuit interfectus.

4. Consummati sunt autem CXXVIII martyres vicesimo mensis februarii. Venerandum vero et gloriosum episcopum et athletam Sadoth duxerunt vinctum in aliam patriam, quae vocatur Bethuza, in civitate quae vocatur Bethlapat, et illic amputarunt venerandum et sanctum eius caput. Consummati sunt autem omnes sancti et gloriosi martyres in pace, laudantes et glorificantes Dominum nostrum Iesum Christum, quem decet omnis gloria, honor et adoratio cum Patre et sancto Spiritu, nunc et semper et in saecula saeculorum. Amen.

PASSIO SANCTI ABRAMI EPISCOPI ARBELAE IN PERSIDE.

fol. 52

1. * Anno quinto persecutionis apud nos, prehensus fuit sanctissimus Abramius episcopus civitatis Arbel, iubente Aderphora magorum principe, ex patria

Ἰάϐ[2]. Ὅστις ἀρχιμάγος ἀναγκάζων αὐτὸν τὸν ἅγιον Ἀϐράμιον προσκυνῆσαι τῷ ἡλίῳ, καὶ μὴ θέλοντα αὐτὸν τοῦτο ποιῆσαι, τὸ πᾶν σῶμα αὐτοῦ ταῖς βασάνοις ταῖς δειναῖς κατέφθειρεν, βοῶντος αὐτοῦ τοῦ ἁγίου ἐν τοῖς ἀφορήτοις ἐκείνοις αἰκισμοῖς καὶ λέγοντος ὅτι· « Χριστιανός εἰμι καὶ ἕνα Θεὸν τὸν ἀληθινὸν προσκυνῶ καὶ αὐτῷ μόνῳ λατρεύω καὶ ἐν τῇ πίστει αὐτοῦ τῇ ἁγίᾳ καὶ ἀληθινῇ μέχρι θανάτου ἐγκαρτερῶ· καὶ μὴ κατανάγκαζέ με κτίσμασιν καὶ ποιήμασιν προσκυνεῖν[3]. »

2. Ταῦτα δὲ αὐτοῦ βοῶντος τοῦ ἁγίου ἐν ταῖς βασάνοις, λέγει αὐτῷ ὁ ἀσεϐής· « Ποίησον τὸ θέλημα τοῦ βασιλέως καὶ ζῆθι. » Ἀποκριθεὶς δὲ ὁ μάρτυς τοῦ Χριστοῦ * Ἀϐράμιος εἶπεν αὐτῷ· « Καὶ σὲ καὶ τὸν ταλαίπωρόν σου ἄρχοντα ἐξουθενῶ καὶ τοῦ βασιλέως σου καὶ αὐτοῦ ὡς παρανόμου τυγχάνοντος καταφρονῶ καὶ ἐκμυκτηρίζω τοὺς θεοὺς αὐτοῦ. Ὅσον δὲ ἠθέλησεν τῇ ἀλαζονίᾳ αὐτοῦ καταπατῆσαι τὴν ταπεινοφροσύνην ἡμῶν ὁ βασιλεὺς καὶ καταργῆσαι τὴν ἀλήθειαν ἡμῶν τῇ αὐτοῦ ἀσεϐείᾳ, ἰδοὺ πολλῷ πλέω ὑψοῦται τὸ ταπεινὸν ἡμῶν σχῆμα καὶ μεγαλύνεται περισσῶς τὰ καθ' ἡμᾶς πρὸς τὸν Θεόν, αὐτὸς δὲ ταλαιπωρεῖ καὶ ἐξουθενεῖ τὰ παρ' αὐτῷ· καὶ ἡ μὲν ἀλήθεια ἡμῶν πληθυνομένη δοξάζεται, ὁ δὲ ἐκμυκτηριζόμενος ἀτιμάζεται· καὶ καθ' ἑκάστην ἡμέραν ὑπὸ τοὺς πόδας ἡμῶν συμπατοῦμεν αὐτόν. » Ἀκούσας δὲ ὁ τύραννος τὰς ὕϐρεις τοῦ βασιλέως, τὰς παρὰ τοῦ ἁγίου λεχθείσας, ἐκέλευσεν αὐτὸν εὐθέως ἀποτμηθῆναι· καὶ παραχρῆμα ἀνῃρέθη ὁ μακάριος Ἀϐράμιος ἐν κώμῃ λεγομένῃ Θελάμ. Ἐτελειώθη δὲ μηνὶ φεϐρουαρίῳ[2] πέμπτῃ, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* Fol. 52v

2. *ita* J, P. — 3. *hic des. mutil.* P.

Iab. Qui archimagus cum compelleret sanctum illum Abramium solem adorare, ille autem hoc agere renueret, totum corpus eius diris tormentis excarnificavit. Clamabat autem sanctus inter intolerabiles illos cruciatus et dicebat : Christianus sum et unum verum Deum adoro et ipsi soli servio et in fide eius sancta et vera ad mortem usque persevero, neque me coge creaturas et effectus adorare.

2. Haec illi clamanti dum torqueretur dixit impius : Fac voluntatem regis et vives. Respondens autem martyr Christi * Abramius dixit ei : Et te et miserum tuum praesidem contemno, et regem tuum ipsum ut improbum despicio et deos eius derideo. Quantum autem voluit rex arrogantia sua humilitatem nostram conculcare et veritatem nostram sua impietate abolere, ecce eo magis extollitur humilis nostra condicio et egregie augentur res nostrae apud Deum; ipse autem affligit et adspernit quae apud illum sunt; et veritas quidem nostra crescit et glorificatur; qui autem deridet nos contemnitur, et cotidie pedibus nostris conculcatur. Audiens autem tyrannus contumelias in regem a sancto prolatas, iussit illum statim decollari; et confestim occisus est beatus Abramius in pago dicto Thelam. Consummatus est autem mense februario, die quinto, in Christo Iesu Domino nostro, cui gloria et potestas nunc et semper et in saecula saeculorum. Amen.

* Fol. 52v

VI

ΜΑΡΤΥΡΙΟΝ[1] ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΒΡΑΜΙΟΥ[2] ΤΟΥ ΠΕΡΣΟΥ

*B, fol. 10v 1. * Ἄρτι τῆς Περσικῆς ἀπονοίας ὅλῳ θυμῷ χωρούσης κατὰ χριστιανῶν, καὶ ὁ μακαρίτης Ἀβράμιος, ἐπίσκοπος τῆς πόλεως Ἀρβὴλ γεγονώς, συλλαμβάνεται καὶ τῷ τοῦ ἀρχιμάγου Ἀδερφορᾶ προσάγεται βήματι. Καὶ αὐτίκα τοῦτον ἐκεῖνος, μεθ' ὃ μάθοι ὅστις εἴη καὶ ὡς χριστιανὸς τὸ σέβας καὶ τῆς αὐτῶν προεστὼς ἐκκλησίας, ἁπαλῶς μὲν τὰ πρῶτα καὶ θωπευτικῶς εἶτα καὶ θρασέως καὶ αὐστηρῶς· « Εἰ μή γε θύσεις, εἶπεν, ἡλίῳ καὶ τῷ φανοτάτῳ πυρί, ποικίλαις σου[1] πρότερον, Ἀβράμιε, τὸ σῶμα κολάσεσι παραδούς, οὕτω σε καὶ πυρὶ παραδώσω· νῦν γοῦν εἴ μοι πείθῃ τὰ λυσιτελῆ συμβουλεύοντι, τὸ προσταττόμενον ποίει· εἰ δ' οὖν ἀλλὰ γνώσῃ πάντως, ὡς οὐκ εἰς συμφέρον σοι τὰ τῆς ἀπειθείας προβήσεται. » « Οὐ λυσιτελῆ τυγχάνει τὰ κελευόμενα, πρὸς τὸν μάγον ὁ δίκαιος εἶπεν, ψυχοβλαβῆ δὲ καὶ Θεοῦ πόρρω βάλλοντα· τίς *Fol. 11 γὰρ νοῦν ἔχων ἄνθρωπος τὸν ἡλίου καὶ πυρὸς λιπὼν * ποιητὴν τὰ ποιήματα προσκυνεῖν ἀνάσχοιτο; λοιπὸν ὃ βούλει ποίει· Ἀβράμιος γὰρ οὔ σοι τὸ παράπαν πεισθείη μὴ συμφερόντως διδάσκοντι. Τί δέ μοι καὶ πῦρ ἀπειλεῖς τὸ ὁμόδουλον, ὃ νεύματι τοῦ ποιήσαντος ψυχρότερον χιόνος φανήσεται· ἄλλως τε δὲ καὶ σῶμα μὲν ἴσως παραβλάψαι δυνήσῃ ψυχὴν δὲ τὴν ἐμὴν οὐμενοῦν οὐδαμῶς· μὴ φοβηθῆτε γάρ, ὁ διδάσκαλος ἡμῶν ἐν τοῖς εὐαγγελίοις φησίν, ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. »

2. Τούτων οὕτω ῥηθέντων ὑπὸ τοῦ μάρτυρος, ὁ ἀρχιμάγος τοσοῦτον αὐτὸν ταῖς μάστιξι κατὰ παντὸς τοῦ σώματος ἔκοψεν, ὡς αἵματος μὲν πληρωθῆναι τὸ ἔδαφος, θέαμα δὲ τοῦτον ἐλέους ἄξιον οἰκτίρμοσιν ὀφθαλμοῖς προκεῖσθαι καὶ συμπαθέσι ψυχαῖς· ἀλλ' ὁ δεινὸς ἄρχων ἐκεῖνος, καίπερ οὕτως ἔχοντα βλέπων τὸν ἀθλητήν, ὅμως θυμομαχῶν πρὸς ἄρνησιν ἐξεκαλεῖτο Χριστοῦ καὶ θύειν ἡλίῳ κατηνάγκαζε καὶ πυρί. Τοῦ δὲ χριστιανὸν ἑαυτὸν διαρρήδην ὁμολογοῦντος καὶ μὴ ἂν ἀρνήσασθαί ποτε τὸν Χριστὸν εἴ τι καὶ γένοιτο λέγοντος, ὁ ἀρχιμάγος τί τῶν δεινῶν οὐκ ἐπῆγεν αὐτῷ; μάστιξιν αὐτὸν ᾔκιζε, σιδηροῖς ὄνυξιν ἔξαινε, λαμπάσι πυρὸς κατέφλεγε, θηρίοις ὑπέβαλλε, πᾶν εἶδος αὐτῷ[1] χαλεπῶν βασάνων ἐπέφερε· « Ποίησον, καθ' ἑκάστην τῶν κολάσεων ἐπιλέγων, Ἀβράμιε, τὸ τοῦ βασιλέως πρόσταγμα· θῦσον τοῖς *Fol. 11v θεοῖς καὶ ἀπαλλάττου τῶν τιμωρούντων σε. » * Ἐφ' οἷς ὁ τοῦ Χριστοῦ μάρτυς· « Καὶ σέ, τύραννε, εἶπε, καὶ τὸν ἀσύνετον βασιλέα σου ὡς παρανόμους καὶ ἀσεβεστάτους περιφρονῶ· καὶ τοὺς θεοὺς ὑμῶν διαπτύω καὶ καταρῶμαι, ὅτι ἐπικατάρατοί εἰσι καὶ αὐτοὶ καὶ οἱ σεβόμενοι αὐτούς. Καὶ γὰρ ὅσῳ σπουδάζετε τὴν Χριστοῦ ποίμνην ἐκτρῖψαι, τοσούτῳ πλέον καὶ κρατύνεται καὶ προστίθεται. Ὑμεῖς δὲ προσταλαιπωρεῖτε ἀνηνύτοις ἐπιχειροῦντες καὶ παρὰ πᾶσιν ἐξουθενημένοι καὶ ἐστὲ καὶ ὁρᾶσθε. »

3. Τούτων ἀκούσας ὁ τύραννος τῶν κατὰ βασιλέως καὶ θεῶν καὶ αὐτοῦ χαλεπωτάτων ὕβρεων, αὐτίκα θυμῷ ληφθεὶς ἀσχέτῳ, ξίφει κελεύει διακοπῆναι τὴν αὐτοῦ κεφαλήν. Ἤχθης οὖν, ὦ πανάριστε ἱερόμαρτυς, πρὸς τὸν τῆς τελειώσεως τόπον, Θέλαμον ἐγχωρίως ὀνομαζόμενον, δέχῃ τὴν ποθεινὴν ἐκείνην σοι προθύμως τομὴν καὶ χερσὶ Θεοῦ παραδίδως τὸ πνεῦμα, τρίτην ἀναβαίνοντος τοῦ φεβρουαρίου μηνός. Καὶ νῦν ταῖς οὐρανίοις ἐμφιλοχωρῶν σκηναῖς σὺν ἅπασι τοῖς δικαίοις, τῶν πολλῶν σου τούτων καμάτων ἀπολαμβάνεις τὰς ἀμοιβάς. Χάρισαι οὖν ταῖς πρὸς Χριστὸν εὐκτικαῖς ἱκεσίαις σου, ὑπὲρ οὗ τὸν μαρτυρικὸν τοῦτον ἤνυσας δίαυλον, οὗ καὶ θύτης καὶ μύστης μυστικῶς ἐχρημάτισας, βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μονῶν ἀϊδίων τὴν κατοικίαν ἵλεων αὐτὸν καὶ συμπαθῆ καὶ ἥμερον τὸν ἀδέκαστον καὶ φοβερὸν δικαστήν, χορείας ἀγγέλων τὴν ξυναυλίαν ἀγαθῶν ἀνεκλείπτων τὴν μετουσίαν, ἡλίου δόξης τὴν φαιδρὰν *Fol. 12 κληρουχίαν, παντὸς τέρποντος ἀθανάτου τὴν δόσιν καὶ τὸν * φωτισμὸν τῆς θείας λαμπηδόνος, ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Tit. — 1, *supra in marg.* μηνὶ τῶι αὐτῶι γ' R. — 2. Ἀβρααμίου *hic tantum* R.
1. — 1. σο R.
2. — 1. αὐτῶν R.

VII

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΙΑΣ[1].

1. * Ἐν τῷ πεντηκοστῷ <τρίτῳ[1]> ἔτει τῆς βασιλείας Σαβωρίου * τῶν[2] Περσῶν * I, fol. 87v * Fol. 88 βασιλέως, ἀνῆλθεν ὁ αὐτὸς Σαβώριος εἰς τὰ κάστρα καὶ εἰς τὰ μεθόρια τῶν Ῥωμαίων, ποιήσας[3] φωσάτον μετὰ τοῦ στρατοπέδου αὐτοῦ· ἦλθεν δὲ καὶ ἐπὶ[4] κάστρον[4] προσαγορευόμενον Βιζαΐδέον[5], καὶ ἠδυνήθη κατακυριεῦσαι αὐτοῦ καὶ διακάτοχος[6] αὐτοῦ γενέσθαι καὶ τὰ τείχη καταστρέψαι· οὐ μὴν ἀλλὰ καὶ πλῆθος[7] τῶν[8] Ῥωμαίων ἐκεῖ[9] ἠδυνήθη διὰ τῆς τιμωρίας τῶν ξιφῶν ἀνελεῖν, πορθήσας[10] ἄνδρας τε καὶ γυναῖκας[11] ὡσεὶ πεντήκοντα χιλιάδας· ἅμα[12] δὲ καὶ τὸν[13] ἐπίσκοπον Ἡλιόδωρον σὺν Δόσσᾳ[14] καὶ Μαρεάβῃ πρεσβυτέροις γηραλέοις καὶ ἄλλοις πρεσβυτέροις καὶ διακόνοις ἁγιωτάτοις ἀνδράσι μετὰ συστήματος ἁγίων ἀνδρῶν καὶ γυναικῶν κανονικῶν[15] ἀειπαρθένων[16], πάντας αἰχμαλώτους[17] ἔλαβεν· καὶ[18] ἐν τῷ ἀποφέρεσθαι αὐτοὺς εἰς τὴν χώραν τὴν λεγομένην Οὐζαϊνῶν, συνέβη αὐτοὺς[19] ἐλθεῖν ἐν μονῇ λεγομένῃ Βισακέρ[20]. Ἐγένετο[21] δὲ[21] ἀρρωστίᾳ περιπεσεῖν τὸν ἁγιώτατον ἐπίσκοπον Ἡλιόδωρον[22]. Μέλλων δὲ[23] τελευτᾶν[24] ἐχειροτόνησε[25] Δόσσαν[26] τὸν προρρηθέντα πρεσβύτερον ἀντ' αὐτοῦ[27] ἐπίσκοπον[28], θεοσεβῆ τυγχάνοντα· οὐ μὴν

Tit. — 1. τῇ αὐτῇ ἡμέρα (*aug.* 4) μαρτύριον ἐν συντόμῳ τῶν ἁγίων μαρτύρων Δωσᾶ πρεσβυτέρου καὶ Ἴας τῆς παρθένου μαρτυρησάντων ἐν Περσίδι E.

1. — 1. E. *om.* I. — 2. τοῦ E. — 3. καὶ ἐποίησεν E. — 4. τὸ *add.* E. — 5. Βιζαδέον E. — 6. ἐν διακατοχῇ E. — 7. πολὺ *add.* E. — 8. πολεμαρχῶν τῶν *add.* E. — 9. *om.* E. — 10. καὶ πορθῆσαι E. — 11. (τ. κ. γ.) μετὰ γυναικῶν E. — 12. ἀλλὰ γὰρ E. — 13. ἁγιώτατον *add.* E. — 14. (σ. Δ) ἅμα Δοσᾷ E. — 15. καὶ *add.* E. — 16. παρθένων E. — 17. (π. α.) αὐτοὺς πάντας E. — 18. *om.* E. — 19. αὐτοῖς E. — 20. Βισακερθὰ E. — 21. *om.* E. — 22. καὶ *add.* E. — 23 *om.* E. — 24. ὁ τοῦ Θεοῦ ἄνθρωπος Ἡλιόδωρος *add.* E. — 25. ἀντ' αὐτοῦ *add.* E. — 26. Δωσᾶν E. — 27. ἄνδρα δίκαιον καὶ E. — 28. *om.* E.

PASSIO SANCTAE MARTYRIS IAE.

1. * Anno regni Saporis, Persarum regis, quinquagesimo tertio, abiit ipse * Fol. 87v Sapor in castra et in confinia Romanorum fecitque fossam cum exercitu suo. Ivit autem etiam ad castrum appellatum Bizaïdeon potuitque illud superare atque in potestatem redigere murosque evertere; quin immo multitudinem Romanorum illic potuit per supplicium gladiorum e medio tollere et perdere viros ac mulieres quasi quinquaginta millia. Simul vero episcopum Heliodorum cum Dossa et Mareabe presbyteris aetatis devexae, aliisque presbyteris et diaconis, sanctissimis viris, cum coetu sanctorum virorum ac mulierum sub perpetuae virginitatis tenore viventium, omnes captivos tenuit. Et dum illi in regionem quae dicitur Ouzaïnorum abducerentur, contigit ut venirent in mansionem dictam Bisacer. Factum est autem ut in morbum incideret sanctissimus episcopus Heliodorus. Moriturus autem ordinavit Dossam praedictum presbyterum religiosum virum, ut suo loco episcopatum gereret. Et vero

ἀλλὰ καὶ τὸ θυσιαστήριον, ὅπερ ἦν λαβὼν ἐξερχόμενος εἰς αἰχμαλωσίαν, παρέδωκεν αὐτῷ τῷ ὁσιωτάτῳ Δόσσᾳ[29], ἵνα ἱερατεύῃ ἐν αὐτῷ ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ἐνώπιον * Fol. 88r Κυρίου· αὐτὸς δὲ ὁ[30] θεοφιλέστατος[31] Ἡλιόδωρος ἀνεπαη * ἐν Κυρίῳ[32].

2. Τὸ δὲ τίμιον[1] αὐτοῦ λείψανον ἐτάφη ἐκεῖ παρὰ χριστιανοῖς ἀνδράσι[2] μετὰ τιμῆς πολλῆς καὶ δόξης· ἐν δὲ τῷ ἀπέρχεσθαι αὐτοὺς ἐν τῇ ὁδῷ, ἀποκινησάντων[3] τῶν τόπων ἐκείνων[4], συνηθροίσθησαν ἔν τινι[5] τόπῳ, καὶ ἔψαλλον καὶ ὕμνουν δοξολογοῦντες τὸν ἅγιον[6] Θεόν[7], καθ' ἑκάστην ἡμέραν[8] ἐκτελοῦντες τὴν διακονίαν ταύτην. Οἱ δὲ[9] μάγοι διὰ τὸ ψάλλειν[10] καὶ λειτουργεῖν[11] Χριστῷ τῷ Θεῷ ἡμῶν[12] θυμοῦ μεγάλου ἐπλήσθησαν, καὶ αἱ καρδίαι αὐτῶν καὶ αἱ ψυχαὶ ἐταράχθησαν δεινῶς[13], καὶ[14] ἤρξαντο κακολογεῖν καὶ συσκευάζειν[15] τοὺς τῷ Θεῷ λειτουργοῦντας[16] χριστιανοὺς πρὸς Ἀδελφὲρ[17] τὸν ἀρχιμάγον, τὸν καὶ πρώην αἴτιον γενόμενον αἱματεκχυσιῶν πολλῶν χριστιανῶν καὶ ἀθλοφόρων μαρτύρων τοῦ ἁγίου[18] Θεοῦ, τῶν μαρτυρησάντων ἐν τῇ ἀνατολῇ. Καὶ ὁπλισθεὶς Ἀδελφὲρ[17] ὁ ἀρχιμάγος τοῖς ὅπλοις τοῦ ἀντικειμένου, εἰσῆλθεν πρὸς τὸν βασιλέα[19] καὶ λέγει αὐτῷ· « Ἀγαθὲ βασιλεῦ, ἀνήρ τίς ἐστιν[20] ἐν τῇ αἰχμαλωσίᾳ ταύτῃ, πρῶτος ὑπάρχων τῶν χριστιανῶν, ἔχων τὴν προσηγορίαν Δόσσας[21]· καὶ πολλοὺς συναρπάζει πρὸς αὐτὸν[22] ὄχλους ἐκ τῆς αἰχμαλωσίας, ἄνδρας τε καὶ γυναῖκας, ὁμοπίστους καὶ ὁμόφρονας αὐτῷ τυγχάνον-

29. Δωσα E. — 30. θειος *add.* E. — 31. ἐν εἰρηνῃ του τῆδε βίου E. — 32. ἀνεπαύσατο E.

2. — 1. και ἅγιον *add.* E. — 2. χριστιανῶν ἀνδρῶν E. — 3. ἀποκινηθεντας ἐκ E. — 4. του τόπου ἐκείνου E. — 5. ἐν E. — 6. *om.* E. — 7. ἀλλὰ καὶ *add.* E. — 8. οὐκ ἐπαύσατο *add.* E. — 9. ἄθλιοι καὶ πονηροὶ *add.* E. — 10. αὐτοὺς *add.* E. — 11. ἀεννάως τῳ ἁγίω ἡμων *add.* E. — 12. *om.* E. — 13. σφόδρα E. — 14. λοιπὸν *add.* — 15. ἐνδιαβάλλειν E. — 16. λειτ. τ. Θεῷ E. — 17. Ἀδερφὲρ E. — 18. *om.* E. — 19. Σαβώριον *add.* E. — 20. ἐστιν τις ἀνὴρ E. — 21. Δωσας E. — 22. ἑαυτὸν E.

altare, quod acceperat ingrediens captivitatem, tradidit ipsi sanctissimo Dossae, ut sacerdotio sancte et juste et inculpate in eo fungeretur coram Domino. * Fol. 88r Ipse vero Dei amantissimus Heliodorus requievit * in Domino.

2. Venerandum autem eius corpus sepultum est illic a christianis viris multo cum honore et gloria. Dum autem abirent illi, in via, ex isto digressi loco, congregati sunt in loco quodam, et cantabant ac hymnos dicebant, glorificantes sanctum Deum, singulis diebus perficientes illud ministerium. Verum magi quia psallebant et publice ministrabant Christo Deo nostro ira magna impleti sunt, et corda eorum et animi graviter turbata sunt et coeperunt maledicere, et criminari christianos, Christo publice ministrantes, apud Adelpher, magorum principem, qui antea auctor fuerat effusionis sanguinis multorum christianorum, et gloriosorum martyrum sancti Dei, qui martyrio affecti sunt in Oriente. Et armatus Adelpher, magorum princeps, armis adversarii ingressus est ad regem, et dicit illi : « Bone rex, vir quidam est in captivitate hac, qui inter christianos primatum tenet, habens nomen Dossae, et multas rapit ad se turbas ex captivitate viros ac mulieres idem credentes, et ipsi consentientes et conviliantur vestrae potestati, abominantes vestrum

ται, καὶ λοιδοροῦσι τὸ ὑμέτερον κράτος βδελυσσόμενοι τὴν ὑμετέραν βασιλείαν[23]· καθ' ἑκάστην δὲ[24] ἡμέραν τοῦτο[24] διαπράττονται[24]. Παρήγγειλα * δὲ[25] αὐτοῖς[26] μὴ ποιεῖν ταῦτα[27], * Fol. 89 καὶ οὐ παύονται[28]· ἀλλὰ γὰρ καὶ περισσοτέρως ἀτιμάζουσι τὸ[29] ὑμέτερον βασιλικὸν μέγεθος[30] καὶ[31] οὐ μικρῶς βλασφημοῦσι[32] κατὰ τῶν θεῶν τῶν Περσῶν. » Ταῦτα[33] ἀκούσας ὁ βασιλεὺς[34] ἐκέλευσε[35] τὴν κεφαλὴν τοῦ μακαρίου Δόσσα[36] τοῦ ἐπισκόπου[37] ἀποτμηθῆναι.

3. Μετὰ δὲ τὴν[1] ἄθλησιν τοῦ μακαρίου ἐπισκόπου Δόσσα[2], διεβλήθη[3] ἡ τοῦ Θεοῦ δούλη ἡ[4] οὖσα ἐκ τῆς αἰχμαλωσίας τῆς παραληφθείσης, ὡς ζῆλον πολὺν ἔχουσα περὶ τὴν πίστιν τοῦ σωτῆρος ἡμῶν[5] Χριστοῦ· ἦν γὰρ καὶ τὰς ἁγίας γραφὰς ἀκριβῶς ἠσκημένη[6] διὰ τὸν πόθον, ὃν εἶχε πρὸς[7] τὸν δεσπότην Χριστόν· καὶ γὰρ ἐν[8] τῇ ἀγάπῃ τοῦ Χριστοῦ πυρουμένη ἠναντιοῦτο ἑκάστῳ περιπίπτοντι[9] καὶ ἐχθραίνοντι τῷ τῶν χριστιανῶν λαῷ[10] ἀντιτιθοῦσα[11], καὶ[11] διδάσκουσα[12] τὸν λόγον τοῦ Χριστοῦ[13] καὶ εἰς τὰ ὦτα αὐτοῦ[14] ἐνσπείρουσα τὴν διδασκαλίαν τοῦ Θεοῦ[15]. Πολλοὺς οὖν ἐκ τῆς πλάνης τῆς εἰδωλικῆς τοῦ ἑλληνισμοῦ[16] ἐπέστρεφεν πρὸς χριστιανισμόν[17]. Κατὰ τὸν καιρὸν δὲ[18] ἐκεῖνον[19] ᾤκησεν[20] εἰς τὴν Ζαϊνῶν χώραν[21] καὶ πολλοὺς προσήνεγκε τῷ Χριστῷ· αὕτη δὲ ἡ ἁγία[22] πρὸς τὰς γυναῖκας[23] ἐν ἀγάπῃ ἤρχετο ἀεὶ καὶ τὸν λόγον τοῦ Θεοῦ ἐδίδασκεν αὐτὰς[24] καὶ ἀπὸ τῶν ἁγίων γραφῶν ἐνουθέτει καὶ παρεκάλει αὐτάς[25]. Θεασάμεναι δὲ αἱ γυναῖκες[26] τὸ

23. καὶ οὐ μόνον ἅπαξ τοῦτο διαπράττονται ἀλλὰ καὶ *add.* E. — 24. *om.* E. — 25. καὶ παρήγγειλαν E. — 26. πολλάκις *add.* E. — 27. τοῦτο E. — 28. οὐκ ἐπαύσαντο E. — 29. τὸν E. — 30. θρόνον E. — 31. *om.* E. — 32. δὲ ἐβλασφήμησαν E. — 33. δὲ ἀλλὰ μὴν καὶ *add.* E. — 34. καὶ μανεὶς σφόδρα *add.* E. — 35. παραχρῆμα *add.* E. — 36. Δωσᾶ E. — 37. ξίφει *add.* E.

3. — 1. τιμίαν καὶ ἔνδοξον *add.* E. — 2. Δωσᾶ E. — 3. καὶ *add.* E. — 4. ἁγία Ἴα *add.* E. — 5. Ἰησοῦ *add.* E. — 6. ἐξησκημένη E. — 7. περὶ E. — 8. καὶ ὅλη E. — 9. ἀντιπίπτοντι E. — 10. τοῖς τοῦ Χριστοῦ δούλοις E. — 11. *om.* E. — 12. αὐτοῖς *add.* E. — 13. Θεοῦ E. — 14. *om.* E. — 15. Χριστοῦ E. — 16. τῶν εἰδώλων E. — 17. εἰς χ. ἐπέστρεψεν E. — 18. *om.* E. — 19. ἡ μακαρία μάρτυς τοῦ Χριστοῦ Ἴα *add.* E. — 20. δὲ *add.* E. — 21. ἐν τῇ Οὐζαινων χώρα E. *Cf. infra n. 11.* — 22. ἐν ἀγάπῃ *add. hic* E. — 23. τῶν μεγάλων *add.* E. — 24. καὶ ἐδ. αὐτὰς τ. λ. τ. Θ. E. — 25. (ἐν. καὶ π. α.) ἔλεγεν αὐταῖς E. — 26. ἐκεῖναι *add.* E.

regnum. Singulis autem diebus hoc faciunt. Admonui * ipsos ne hoc facerent * Fol. 89 et non quiescunt. At enim vehementius etiam dedecore afficiunt vestram regiam magnitudinem, et non parum blasphemant contra deos Persarum. Haec ubi audisset rex iussit caput beati Dossae episcopi amputari.

3. Post certamen vero beati episcopi Dossae, delata est Dei ancilla, quae erat ex captivitate, quae tenebatur, ut quae magno erga fidem salvatoris nostri Christi studio flagrabat. Erat autem in sacris scripturis accurate exercitata per desiderium, quod habebat erga Christum Dominum. Nam Christi amore succensa, adversabatur omni resistenti et odienti christianum populum se opponebat, docens verbum Christi, et auribus eius inferens doctrinam Dei. Multas igitur ex errore idololatrico gentilitatis convertit ad christianismum. Per illud autem tempus habitabat in Zaïnorum regione, et multos adducebat ad Christum. Ipsa vero sancta ad mulieres veniebat semper in charitate, et verbum Dei illas docebat, et ex sanctis scripturis admone-

πρᾳον[27] τῆς ἁγίας Ἴας[28] καὶ ἀκούσασαι τὸν κεχαρισμένον αὐτῆς λόγον[29], ἡδέως αὐτὴν Fol. 89 προσεδέχοντο[30], * καὶ ἐνώπιον τῶν ἀνδρῶν αὐτῶν προσεκόμιζον[31] αὐτὴν διηγούμεναι[32] τὰς διδαχὰς καὶ τοὺς λόγους τῆς ἁγίας[33].

4. Οἱ δὲ ἄνδρες αὐτῶν ἀκούσαντες[1], ὀργῆς μεγάλης μεστοὶ γεγόνασι, καὶ ἕτερος τῷ ἑτέρῳ ἔλεγε τὰ ῥήματα τὰ λεχθέντα ὑπὸ τῆς ἁγίας Ἴας ταῖς γυναιξὶν αὐτῶν, φάσκοντες πρὸς ἀλλήλους καὶ λέγοντες[2] ὅτι· « Ἡ γυνὴ αὕτη διὰ τῆς μαγείας αὐτῆς τὰς γυναῖκας ἡμῶν ἀποστρέφει καὶ ἀλλοτριοῖ ἀφ' ἡμῶν[3]. » Μιᾷ οὖν[4] γνώμῃ γενόμενοι ἅπαντες[5], ἐνώπιον τοῦ βασιλέως ἔστησαν καὶ[6] εἶπον· « Βασιλεῦ ἡμῶν ἀγαθέ, εἰς τοὺς αἰῶνας[7] ζῆθι· γυναῖκα μίαν ἐκ τῆς αἰχμαλωσίας ἤνεγκεν τὸ κράτος ὑμῶν, γένος οὖσαν τῶν Ῥωμαίων[8], ἥτις[9] μαγείας τελεῖ ἐν ταύτῃ τῇ πατρίδι τῇ οὔσῃ ὑπὸ τὴν βασιλείαν[10] σου[11] καὶ πολλὰς ψυχὰς ἀποστρέφει[12] ἀπὸ τῆς προσκυνήσεως τῶν θεῶν[13]· τοὺς γὰρ[14] θεοὺς ἡμῶν[15] ἀτιμάζει, καὶ καταφρονεῖ πάντων τῶν νόμων ὑμῶν[16]. » Ταῦτα ἀκούσας ὁ βασιλεὺς μεγάλως ὠργίσθη καὶ θυμοῦ πολλοῦ πλησθεὶς ἐκέλευσεν, καὶ ἐκλήθησαν δύο ἀρχιμάγοι, ὧν ἦν ἡ προσηγορία αὕτη[17]· ὁ μὲν εἷς[18] ἐκαλεῖτο[19] Ἀδερσαβώρ, ὁ δὲ[19] ἕτερος Ἀδελφέρ[20]· καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς[21]· « Ἐκείνη[22], περὶ ἧς λέγουσιν, ἐὰν μὲν[21] προσκυνεῖ τοὺς θεοὺς καὶ τιμᾷ τὸν ἥλιον καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τὸ κράτος μου[23] καὶ τὴν φαρμακείαν,

27. τὸν λογισμὸν L. — 28. ὄντα πρᾳον καὶ κεχαριτωμένον *add.* L. — 29. καὶ-αὐτῆς *om.* F. — 30. προσεδέχοντο L. — 31. ἐνεκόμιζον L. — 32. λέγουσαι L. — 33. Ἴας *add.* F.

4. — 1. ταῦτα *add.* E. — 2. τὰ ῥήμ. — λέγοντες, *om.* F. — 3. ἀφ' ἡμ. κ. ἀλλ. τότε F. — 4. *om.* L. — 5. οἱ πάντες F. — 6. μιᾷ φωνῇ *add.* L. — 7. τὸν αἰῶνα E. — 8. αἰχ. ἤγαγες τῶν Ῥωμαίων ἐνταῦθα E. — 9. πολλὰς *add.* E. — 10. ἐν τῇ βασιλείᾳ E. — 11. καὶ διδάσκει θεὸν ἕτερον *add.* F. — 12. *om.* F. — 13. ὃν σέβεται τὸ κράτος ὑμῶν καὶ τιμᾷ ἀποστρέφει *add.* E. — 14. καὶ τοὺς μεγίστους E. — 15. *om.* L. — 16. (καὶ-ὑμῶν) καὶ τὸ κράτος ἡμῶν ἐκπτύει καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὴν ὑμετέραν βασιλείαν δεινῶς ἀτιμάζει καὶ καταφρονεῖ πάντων E. — 17. αἱ προσηγορίαι L. — 18. εἷς μὲν F. — 19. καὶ ὁ E. — 20. Ἀδελφὲρ L. — 21. *om.* L. — 22. ἡ γυνὴ E. — 23. θεοὺς καὶ τὸ ὕδωρ καὶ τιμᾷ καὶ τὸ πῦρ καὶ τὸ κράτος μου οὐκ ἀτιμάζει L.

bat et consolabatur eas. Mulieres autem lenitate visa sanctae Iae, et audito Fol. 89 gratioso illius sermone, libenter eam admiserunt, *et coram viris suis adduxerunt, doctrinas et sermones sanctae < Iae > narrantes.

4. Viri autem illarum haec audientes, ira magna repleti sunt, et alter alteri retulit verba dicta a sancta Ia uxoribus suis, habito inter se sermone dicentes : Mulier illa per magiam suam uxores nostras avertit et abalienat a nobis. Eiusdem igitur sententiae facti omnes coram rege steterunt, et dixerunt : Rex noster bone, in saecula vive. Mulierem unam ex captivitate adduxit maiestas vestra, genere Romanam, quae magias perficit in hac patria, quae est sub regno tuo et multas animas avertit ab adoratione deorum; deos enim nostros dedecore afficit et contemnit omnes leges vestras. Haec audiens rex, magnopere iratus est, et furore multo repletus praecepit; et vocati sunt duo magorum principes, quorum erat haec appellatio : unus quidem vocabatur Adersabor, alter vero Adelpher. Et dixit illis rex : Illa de qua loquuntur, siquidem adorat deos, et honorat solem et ignem et aquam et poten-

ἣν[23] διδάσκει, οὐ[24] πράττει[25], οἰκήσει ἐν τῇ πατρίδι ταύτῃ[26] καὶ[27] τιμὴν ἕξει παρ' ἡμῶν· εἰ δὲ * οὐ προσκυνεῖ τοὺς θεοὺς[28] καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ[29] καθὼς κελεύουσιν οἱ θεοὶ * Fol. 90 ἡμῶν καὶ[30] οἱ ἡμέτεροι νόμοι, πᾶσαν τιμωρίαν[31] ἐπαγάγετε αὐτῇ[32]. »

5. Δεξάμενοι δὲ[1] τὸ κέλευσμα τοῦτο[2], ἐξελθόντες προσέταξαν[3] κατασχεθῆναι τὴν ἁγίαν δούλην τοῦ Θεοῦ[4]. Ἐνεχθείσης[5] δὲ[6] αὐτῆς[7], κραυγὴν καὶ θόρυβον ἐπ' αὐτῇ[8] ἐποίησαν[9]. Καὶ εἶπον αὐτῇ[10]· « Χριστιανὴ ὑπάρχεις; » Ἡ ἁγία[11] ἀποκριθεῖσα εἶπεν[12]· « Χριστιανή εἰμι[13]. » Καὶ[14] ἀπεκρίθησαν[14] οἱ παράνομοι[15] λέγοντες[15]· « Θάνατον χρεωστεῖς, ὅτι ἔφης εἶναι χριστιανή[16]. » Ἡ δὲ ἁγία[17] Ἴα ἱερᾷ φωνῇ ἐβόησεν λέγουσα· « Χριστιανὴ ὑπάρχω καὶ ἑνὶ ζῶντι Θεῷ δουλεύω, τῷ πᾶσαν ὕλην κτίσαντι, ἐξ οὗ καὶ οὓς λέγετε θεοὺς ὑμῶν κατεσκευάσθησαν, ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ· πάντα γὰρ ἔργα χειρῶν αὐτοῦ ὑπάρχουσιν[18]. »

6. Τότε[1] ἐκέλευσαν ἀποδυθῆναι τὴν[2] ἀμνάδα τοῦ Χριστοῦ, καὶ σχοίνους ἔβαλον[3] ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἐν τοῖς ποσίν, καὶ πέντε ἄνδρες πάνυ[4] ἰσχυροὶ ἕκαστον μέλος αὐτῆς εἷλκον, καὶ ἄλλοι ἄνδρες[5] νεανίσκοι μετὰ σαρακηνικῶν μαστίγων τύπτοντες τὸ σῶμα αὐτῆς

24. ἐπιστατεῖ οὐ *add.* E. — 25. *om.* E. — 26. τῇ πόλει *add.* E. — 27. εὐθαλεῖ καὶ τὴν πρέπουσαν *add.* E. — 28. ἡμῶν *add.* E. — 29. οὐ τιμᾷ E. — 30. (οἱ-καὶ) *om.* E. — 31. καὶ κόλασιν ἣν παρακελεύονται οἱ νόμοι *add.* E. — 32. ἐπάξατε αὐτὴν E.

5. — 1. οἱ ἀσεβεῖς ἀρχιμάγοι *add.* E. — 2. παράνομον τοῦτο κ. E. — 3. ἐκέλευσαν παραχρῆμα E. — 4. Ἴαν *add.* E. — 5. καὶ ἐνεχθεῖναι E. — 6. *om.* E. — 7. αὐτὴν εἰς τὸ δεσμωτήριον· μετὰ δὲ ὀλίγας ἡμέρας καθεσθέντες οἱ ἀρχιμάγοι ἐκέλευσαν ἀχθῆναι τὴν ἁγίαν ἔμπροσθεν αὐτῶν· ἀχθείσης δὲ αὐτῆς E. — 8. κατ' αὐτῆς E. — 9. ἤγειραν E. — 10. αὐστηρᾷ τῇ φωνῇ *add.* E. — 11. ἡ δὲ ἁγία τοῦ Χριστοῦ μάρτυς Ἴα E. — 12. αὐτοῖς *add.* E. — 13. τότε *add.* E. — 14. *om.* E. — 15. ἐξαφθέντες τῷ θυμῷ εἶπον αὐτῇ *add.* E. — 16. χρ. εἶναι E. — 17. τοῦ Χριστοῦ μάρτυς *add.* E. — 18. (δουλεύω-ὑπάρχουσιν) λατρεύω καὶ αὐτῷ μόνῳ προσκυνῶ καὶ σέβομαι πάντα ἐκ μὴ ὄντων συστησαμένῳ E.

6. — 1. ἐμμανεῖς γενόμενοι οἱ τύραννοι σφόδρα *add.* E. — 2. ἐσθῆτα αὐτῆς καὶ ἐκταθῆναι τὴν *add.* E. — 3. ὡς ἐπὶ πόκον καὶ εἶθ' οὕτως ἔβαλον σχοινίους E. — 4. *om.* E. — 5. πέντε πάνυ ἰσχυροὶ καὶ *add.* E.

tiam meam, et maleficium, quod docet, non facit, habitabit in hac patria et honorem habebit a nobis. Si vero * non adorat deos et ignem et aquam * Fol. 90 sicut dii nostri ac nostrae leges praecipiunt, omnem poenam ei inferte.

5. Cum accepissent hoc mandatum, egressi iusserunt comprehendi sanctam ancillam Dei. Adducta illa, clamorem et tumultum adversus illam concitarunt, et dixerunt ipsi : Christiana es? Sancta respondens dixit : Christiana sum. Et responderunt iniqui dicentes : Mortis rea es, quia dixisti te esse christianam. Sancta vero Ia sacra voce exclamavit dicens : Christiana sum et uni viventi Deo servio, qui omnem materiam creavit, a quo, quos deos vestros dicitis, constructi sunt sol, luna, ignis et aqua. Omnia enim opera manuum eius sunt.

6. Tunc iusserunt exui agnam Christi, et iunceos funes iniecerunt manibus illius et pedibus; et quinque valde fortes viri omnia eius membra trahebant et alii viri iuvenes saracenicis flagellis verberantes, corpus illius labe-

διέφθειρον[6]. Ἡ δὲ ἁγία[7] Ἴα ᾠδὴν[8] ἀνέπεμπεν[9] πρὸς τὸν Κύριον[10]. Καὶ γὰρ[11] εἰς τὸ ὕψος τοῦ οὐρανοῦ ἐπάρασα τοὺς ὀφθαλμούς[12], μετὰ παρρησίας τὸν ἑαυτῆς δεσπότην[13] ἐπεκαλεῖτο λέγουσα· « Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ ἀληθινοῦ[14] Θεοῦ, ἐνδυνάμωσον[15] Fol. 90v τὴν δούλην σου εἰς τὸν ἀγῶνα τοῦτον[16], εἰς ὃν νῦν εἰσῆλθον[17], καὶ ῥῦσαί με ἀπὸ * τῶν[18] λύκων[19] τῶν διασπαραττόντων με[20]. »

7. Ὅτε δὲ ἐτυπτήθη[1] ἐπὶ τοσοῦτον, ὥστε γενέσθαι αὐτὴν ἄλαλον, ἐκέλευσαν[2] ἐμβληθῆναι αὐτὴν εἰς τὴν φυλακήν[3]. Καὶ μετὰ δύο μῆνας ἐκέλευσαν, καὶ ἤχθη ἐνώπιον αὐτῶν ἡ ἁγία Ἴα, καὶ λέγουσιν αὐτῇ[4]· « Ἐν ποίᾳ διανοίᾳ[5] ἔμεινας τὸν[6] τοσοῦτον χρόνον ἐν τῇ εἱρκτῇ; ἆρα ἐνουθέτησας ἑαυτὴν εἰς τὸ[7] θῦσαι τοῖς θεοῖς καὶ σέβεσθαι τὸν βασιλέα καὶ τὸ πῦρ καὶ τὸν ἥλιον καὶ οἰκῆσαι ἐν τῇ πατρίδι ταύτῃ καὶ παρ' ἡμῶν δέξασθαι δωρεὰς καὶ δώματα μεγάλα, ὥστε[8] τιμήν σοι παρασχεθῆναι κατὰ τὸ θέσπισμα τοῦ βασιλέως τῶν[9] βασιλευόντων[9], ἢ εἶναι χριστιανήν; » Τότε ἡ[10] πιστοτάτη καὶ ἁγία[11] ἀποκριθεῖσα εἶπεν[12]· « Ἐγὼ τὴν διάνοιαν ἔσχον[13], ἵνα εἰς τὴν χάριν, ἣν ἐκλήθην, ἰσχυρῶς ἀγωνίσωμαι καὶ τὸν Θεόν μου τὸν ἀληθινὸν μὴ ἀντικαταλλάξω[14] τοῖς δοκοῦσι[15] θεοῖς· τοῖς γὰρ[16] ματαίοις[17] ὑμῶν σεβάσμασιν οὐ προσκυνῶ[18]. »

8. Ταῦτα ἀκούσαντες οἱ[1] ἀρχιμάγοι, μετ' ὀργῆς[2] καὶ θυμοῦ μεγάλου ἐκέλευσαν ἐνε-

6. διέσχιζον καὶ κατεδαπάνων E. — 7. μάρτυς τοῦ Χριστοῦ *add.* E. — 8. ᾠδὴ E. — 9. *om.* E. — 10. ἡμῶν Ἰησοῦν Χριστὸν ἦν *add.* E. — 11. *om.* E. — 12. (ἐπ. τ. ὀ.) ἠτένιζεν καὶ E. — 13. Χριστὸν *add.* E. — 14. καὶ ζῶντος *add.* E. — 15. ἕως τέλους *add.* E. — 16. *om.* E. — 17. ἕστηκα E. — 18. πικρῶν καὶ πονηρῶν *add.* E. — 19. τούτων *add.* E. — 20. τὰς σάρκας μου ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας ἀμήν E.

7. — 1. ἡ μακαρία *add.* E. — 2. οἱ μάγοι πάλιν *add.* E. — 3. ἐν τῇ φρουρᾷ E. — 4. (καὶ ἤχθ.-αὐτῇ) οἱ τύραννοι ἀχθῆναι πάλιν ἐπ' αὐτῶν τὴν ἁγίαν Ἴαν· τῆς δὲ ἀχθείσης εἶπον αὐτῇ· εἰπὲ ἡμῖν τὸ ἀληθὲς γύναι E. — 5. οὖσα *add.* E. — 6. ἔμενες E. — 7. (ἆρα-τὸ) ἐπείσθης ἄρα E. — 8. καὶ E. — 9. *om.* E. — 10. ὄντως *add.* E. — 11. τοῦ Χριστοῦ μάρτυς *add.* E. — 12. τοῖς ἀρχιμάγοις *add.* E. — 13. ἣν εἶχον ἐξ ἀρχῆς τὴν αὐτὴν καὶ ἔχω E. — 14. ἀντικαταλλάξομαι E. — 15. οὐκ οὖσι E. — 16. *om.* E. — 17. καὶ βεβήλοις *add.* E. — 18. (ὑμῶν-προσκυνῶ) *om.* E.

8. — 1. δείλαιοι καὶ ἐμβρόντητοι *add.* E. — 2. καὶ ἀπειλῆς *add.* E.

iactabant. Sancta vero Ia canticum transmisit ad Dominum. Etenim sublatis in altitudinem caeli oculis, cum fiducia Dominum suum invocabat, dicens : Domine Iesu Christe, fili veri Dei, corrobora ancillam tuam ad certamen istud, Fol. 90v in quod nunc ingressa sum, et erue me * a lupis illis, qui me discerpunt.

7. Cum autem verberaretur eo usque ut loqui non posset, iusserunt immitti illam in custodiam. Et post duos menses iusserunt, et adducta est coram illis sancta Ia, et dicunt ipsi : Quaenam tibi fuit mens tanto tempore in carcere? Num in animum induxisti tuum sacrificare diis et honorare regem, ignem ac solem, et habitare in hac regione nec non accipere a nobis dona et magnas domos, ut honor tibi detur iuxta mandatum regis regnantium, an esse potius christianam? Tunc fidelissima et sancta mulier respondens dixit : Ego mentem habui ut per gratiam, qua vocatus sum, fortiter certem et Deum meum verum non commutem cum falsis diis; nam vana vestra simulacra non adoro.

8. Haec audientes magorum principes, ira et furore magno iusserunt

χθῆναι ἀπὸ τοῦ παραδείσου κλάδη[3] ῥοῶν μεστότερα[4] ἀκαθάριστα[5] τεσσαράκοντα. καὶ[6] ἐξέτειναν αὐτὴν ἄνδρες δώδεκα καὶ ἔτυπτον αὐτὴν δεινῶς[7] ἔμπροσθεν καὶ ὄπισθεν· καὶ τὸ σῶμα αὐτῆς[8] ἔρρεεν[9] τὸ αἷμα ἐπὶ τὴν γῆν[10], ὁμοίως καὶ αἱ σάρκες αὐτῆς[11], μέχρις οὗ[12] οἱ ἐκτείνοντες *αὐτὴν ἐπληρώθησαν[13] τοῦ αἵματος αὐτῆς· καὶ[14] θεασάμενοι[15], ὅτι ὅλη αἱματωμένη[16] ἐστὶν καὶ αἱ σάρκες αὐτῆς ἐδαπανήθησαν[17], ἐκέλευσαν αὐτὴν ἀρθῆναι ὥσπερ σκήνωμα νεκρόν[18], καὶ ῥιφῆναι αὐτὴν[19] εἰς τὴν φυλακήν. Καὶ μετὰ ἓξ μῆνας ἐκέλευσαν αὐτὴν[20] ἀχθῆναι πρὸς αὐτούς[21]· καὶ μετακαλεσάμενοι οἱ ἀρχιμάγοι τὴν ἁγίαν μάρτυρα τοῦ Χριστοῦ Ἴαν, ἠρώτησαν αὐτὴν[22] λέγοντες· « Ἔτι τῷ φρονήματι τῶν χριστιανῶν διαμένεις[23]; » Ἡ δὲ ἀποκριθεῖσα εἶπεν αὐτοῖς[24]· « Χριστιανὴ ὑπάρχω καὶ Θεὸν ἀληθινὸν φοβοῦμαι καὶ[25] προσκυνῶ[26]. » * Fol. 91

9. Οἱ ἀρχιμάγοι εἶπον· « Οὐκοῦν ἀληθινά ἐστιν, ἃ ἤκουσται περὶ σοῦ, ὅτι διδάσκεις ἐν τῇ πατρίδι ταύτῃ ἐναντία τοῦ βασιλέως τῶν[1] βασιλευόντων[1]; » Ἡ δὲ ἁγία[2] ἀποκριθεῖσα εἶπεν[3]· « Εἴ τι ἐὰν[4] ἐρρήθη περὶ ἐμοῦ ὑπὲρ[5] Χριστοῦ, ἀληθὲς τυγχάνει[6], ἀσφαλῶς δὲ ἕνα Θεὸν μόνον κηρύττω τοῖς ἀνθρώποις[7], ἵνα μετανοήσωσι καὶ ἐπιστρέψωσι πρὸς αὐτὸν ἀπὸ τῶν ὁδῶν αὐτῶν[8] τῶν[9] πονηρῶν[10], καθὼς περιέχουσιν αἱ ἅγιαι ἡμῶν γραφαί. » Καὶ[11] ταῦτα[12] ἀκούσαντες οἱ ἀρχιμάγοι ἐθυμώθησαν οὐ μικρῶς[13] καὶ ἐκέλευσαν τοῖς ὑπηρέταις καὶ ἐποίη-

3. κλάδους E. — 4. μεστοτέρους E. — 5. ἀκαθαρίστους E. — 6. τότε E. — 7. καὶ ἀπανθρώπως *add.* E. 8. (καὶ-αὐτῆς) *om.* E. — 9. δὲ *add.* E. — 10. αἷμα ἐκ τοῦ σώματος αὐτῆς ποταμηδὸν E. — 11. ἔπιπτον κατ' ἔμπροσθεν ἐπὶ τῆς γῆς *add.* E. — 12. καὶ *add.* E. — 13. ἐκ *add.* E. — 14. *om.* E. — 15. δὲ οἱ ἀνηλεήμονες καὶ αἱμοχαρεῖς ἀρχιμάγοι *add.* E. — 16. αἱμαγμένη E. — 17. ἀπὸ τῶν ἀκαθαρίστων ῥάβδων *add.* E. — 18. ἄψυχον E. — 19. *om.* E. — 20. πάλιν *add.* E. — 21. ἐπ' αὐτῶν E. — 22. (καὶ-αὐτὴν) τῆς δὲ ἐλθούσης ἠρώτησαν αὐτὴν οἱ ἀρχιμάγοι E. — 23. παραμένεις ὦ γύναι E. — 24. ἐγὼ εἶπον ὑμῖν καὶ πάλιν ἤδη λέγω ὅτι *add.* E. — 25. αὐτὸν μόνον *add.* E. — 26. καὶ σέβομαι *add.* E.

9. — 1. *om.* E. — 2. μάρτυς τοῦ Χριστοῦ Ἴα *add.* E. — 3. αὐτοῖς *add.* E. — 4. ἂν E. — 5. τοῦ *add.* E. — 6. ἐγὼ γὰρ *add.* E. — 7. πιστεύειν *add.* E. — 8. κακῶν αὐτῶν ὁδῶν E. — 9. καὶ E. — 10. πράξεων *add.* E. — 11. *om.* E. — 12. τοίνυν *add.* E. — 13. λίαν E.

afferri ex pomario ramos malorum punicarum densiores et immundos quadraginta. Et extenderunt eam viri duodecim et verberabant eam graviter antrorsum et retrorsum, et ex corpore eius fluebat sanguis in terram; similiter et carnes ipsius, donec qui illam extendebant *impleti sunt sanguine ipsius. Et conspicati quod tota sanguinolenta esset et carnes illius consumerentur, iusserunt eam tolli sicut cadaver mortuum et proici in custodiam. Et post sex menses iusserunt illam adduci ad se. Et postquam arcessivissent magorum principes sanctam Christi martyrem Iam, interrogaverunt eam dicentes : Etiamnum in opinione christianorum permanes? Illa vero respondens dixit ipsis : Christiana sum, et Deum verum timeo et adoro. * Fol. 91

9. Principes magorum dixerunt : Nam igitur vera sunt, quae audita sunt de te, quod hac in regione doceas contraria regi regnantium? Sancta vero respondens dixit : Si quid de me dictum sit super Christo, verum est; certe unum Deum solum praedico hominibus, ut poenitentiam agant, et convertantur ad ipsum a viis suis malis, sicut complectuntur sacrae nostrae scripturae. His auditis magorum principes non parum commoti sunt ira.

σαν[13] καλάμους ἐνεχθῆναι μεγάλους καὶ διασχισθῆναι αὐτοὺς καὶ ἐπιτεθῆναι[14] τῇ ἁγίᾳ καθ' ὅλου τοῦ σώματος αὐτῆς καὶ[15] σχοινίοις λεπτοτέροις[16] σφιγχθῆναι αὐτήν[17], μέχρις οὗ αἱ ἁρμονίαι αὐτῆς μετὰ τῶν μελῶν[18] ψόφον[19] ἐποίησαν. Καὶ[20] ἐκέλευσαν[21] ἕνα καθ' ἕνα κάλαμον ἀποσύρεσθαι ἀπ' αὐτῆς. * Fol. 91

10. Καὶ[1] ἡ σὰρξ μετὰ τοῦ αἵματος κατέρρει ἐπὶ τὴν γῆν, ἕως οὗ τὰ ὀστᾶ αὐτῆς καὶ τὰ ἐντὸς ἐφάνη· μετὰ δὲ ἡμέρας δέκα ἐκέλευσαν ἐκταθῆναι τὴν ἁγίαν καὶ ἐν φραγέλλαις χαλκαῖς τὰ ὀστᾶ αὐτῆς κατακλασθῆναι. Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ εἰς τὸ ἔδαφος ὡς νεκρὰ ἔκειτο πρὸ αὐτῶν[2]· καὶ ἐκέλευσαν[3] ἐνεχθῆναι πραισόριον[4] καὶ[5] ἐκρέμασαν αὐτὴν ἐν αὐτῷ· καὶ ἐκύκλουν[6] ἄνδρες σφίγγοντες ἐπὶ πολύ, ἕως ὅτου[7] τὰ μέλη αὐτῆς χωρισθέντα ἀπ' ἀλλήλων ἔπεσον χαμαί.

11. Θεασάμενοι δέ[1], ὅτι λοιπὸν ἄλαλος ὑπῆρχεν[2] καὶ[3] τὰ μέλη αὐτῆς[4] διαλυθέντα ἔπεσον[5], τότε τὴν κεφαλὴν αὐτῆς ἀποτμηθῆναι ἐκέλευσαν ξίφει. Παρήγγειλαν δὲ[6] τοῖς τηροῦσι φυλαχθῆναι[7] τὸ[8] λείψανον αὐτῆς[8], ἵνα μηδεὶς ἐνταφιάσῃ αὐτήν, ἕως οὗ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέλθωσι καὶ τὸ σῶμα αὐτῆς καταφάγωσιν, ἐπειδήπερ οὐκ ἦν[8] ἔθος[9] Πέρσαις

14. ἐπιενταθῆναι E. — 15. (τῇ-καὶ) τὴν ἁγίαν Ἰαν καὶ εἶθ' οὕτως E. — 16. λεπτοτάτοις E. — 17. ἐπὶ τοσοῦτον *add.* E. — 18. καὶ τὰ μέλη E. — 19. μέγιστον *add.* E. — 20. μετὰ δὲ ταῦτα E. — 21. οἱ ἄνομοι *add.* E.

10. — 1. Τούτου δὲ γενομένου ὁμοίως πάλιν καὶ E. — 2. (ἕως-αὐτῶν) ὅθεν ἐκ πολλοῦ καὶ ἀνυποίστου πόνου καὶ τῆς δριμυτάτης ἀλγηδόνος ἔπεσεν τῇ ὥρᾳ ἐκείνῃ ἐπὶ τὴν γῆν καὶ ἔκειτο ὥσπερ νεκρὰ εἰς τὸ ἔδαφος· ἐπ' αὐτὸν τῶν σαρκῶν καὶ τοῦ αἵματος τοῦ ἐκρεύσαντος ἐξ αὐτῆς· μετὰ δὲ ταῦτα πάλιν E. — 3. οἱ ὠμοὶ ἄσπλαγχνοι ἐκεῖνοι θῆρες *add.* E. — 4. ὑπὸ πιεστήριον E: πραισόριον = pressorium. — 5. τούτου ἐν τάχει ἐνεχθέντος *add.* E. — 6. οἱ *add.* E. — 7. (ἐπὶ-ὅτου) αὐτὴν ἐπὶ τοσοῦτον ἕως οὗ E.

11. — 1. αὐτὴν οἱ τρὶς κατάρατοι ἀρχιμάγοι *add.* E. — 2. ἐκ τῆς βίας τῶν ἀνυποίστων κολάσεων *add.* E. — 3. ὅτι *add.* E. — 4. παντελῶς θλασθέντα καὶ *add.* E. — 5. χαμαὶ *add.* E. — 6. (τότε-δὲ) τότε ἐκέλευσαν τὴν κεφαλὴν αὐτῆς ξίφει ἀποτμηθῆναι· τούτου δὲ μετὰ πολλοῦ τοῦ τάχους γενομένου καὶ τῆς τιμίας καὶ ἁγίας αὐτῆς ψυχῆς εἰς χεῖρας Θεοῦ ἀπενεχθείσης ἐκέλευσαν οἱ αἱμοβόροι ἀρχιμάγοι E. — 7. φυλάξαι E. — 8. *om.* E. — 9. ἐστιν *add.* E.

et praeceperunt ministris et curarunt arundines magnas inferri, easque discindi, et infigi sanctae per totum corpus suum et funibus tenuioribus eam stringi donec corporis compages una cum membris strepitum facerent. Et iusserunt arundinem * unam post alteram ab ipsa avelli. * Fol. 91b

10. Et caro cum sanguine diffluebat in terram, donec ossa illius et intestina apparerent. Post decem vero dies iusserunt extendi sanctam, et flagellis aereis ossa illius frangi. In illa autem hora in pavimento quasi mortua iacebat ante ipsos. Et iusserunt afferri pressorium, et suspenderunt eam in illo. Et in orbem agebant viri stringentes multum, donec membra illius separata a se invicem humi deciderent.

11. Dum autem viderent quod deinceps profari non posset, quodque membra illius dissoluta cecidissent, tunc caput illius amputari iusserunt gladio. Praeceperunt vero custodibus ut custodiretur corpus eius, ut nemo sepeliret illam, donec volatilia caeli venirent et corpus illius comederent, quandoquidem Persis non erat in more positum sepelire mortuos, ut non con-

θάπτειν νεκρούς[10], ἵνα μὴ μολύνηται, φησίν[10], ἡ γῆ. Τινὲς δὲ ἄνδρες χριστιανοὶ κρυφῇ[11] τὸ[12] λείψανον τῆς ἁγίας[13] Ἴας χρήματα δόντες ἐξηγοράσαντο παρὰ τῶν τηρούντων καὶ ἐνεταφίασαν[14] μετὰ τιμῆς, καθὼς ἔπρεπεν. Ἐμαρτύρησεν δὲ ἡ ἁγία Ἴα[15] ἐν τῇ ἐπαρχίᾳ τῇ Ἰουζαϊνῶν[16], τῇ οὔσῃ ἐν Περσίδι, μηνὶ αὐγούστῳ πέμπτῃ[17], βασιλεύοντος τῶν Περσῶν Σαβωρίου, κατὰ δὲ ἡμᾶς βασιλεύοντος[18] τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10. *om.* E. — 11. χρήματα δόντες ἐπιμελῶς *add.* E. — 12. τίμιον καὶ καρτερικὸν αὐτῆς *add.* E. — 13. μάρτυρος *add.* E. — 14. αὐτὸ *add.* E. — 15. καὶ ἔνδοξος μάρτυς τοῦ Χριστοῦ Ἴα μηνὶ αὐγούστῳ τετάρτῃ E; Ἴα *supra lin.* I. — 16. Οὐζαινῶν E; *cf. supra n.* 3. — 17. (μ. αὐγ. ε΄, *om.* E. — 18. μὲν *add.* E.

taminetur, inquiunt, terra. Quidam vero viri christiani occulte corpus sanctae Iae, pecunias dantes, redemerunt a custodibus et sepelierunt eo, quo decebat, honore. Martyrio autem affecta est sancta Ia in regione Iuzaïnorum, quae est in Perside, mense augusto die quinta, regnante apud Persas Sapore, apud nos vero regnante Domino nostro Iesu Christo, cui gloria et potestas in saecula saeculorum. Amen.

VIII

ΜΑΚΑΡΙΟΥ ΜΟΝΑΧΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΓΕΝΟΜΕΝΟΥ ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΙΑΣ.

1. * Τῆς τῶν Ῥωμαίων ἀρχῆς εἰς μέγα δυνάμεως ἀφιγμένης, ἤδη τῆς τῶν Μακεδόνων παυσαμένης, *F, fol. 214
ὡς μὴ μόνον τοῦδε τοῦ ἔθνους ἢ τοῦδε κατάρχειν δυναμένης ἀλλὰ σχεδὸν παγκόσμιον τὸ κράτος κεκτημένης, Ὀκταβίου τοῦ τηνικαῦτα, ὃς καὶ Αὔγουστος ἐκαλεῖτο, τὴν δυναστείαν ταύτης περιεζωσμένου, ἣν δήπου καὶ ῥάβδον σιδηρᾶν ἄνωθεν ὁ θεῖος προεῖπε Δαβίδ, πεντακοσιοστοῦ πρὸς τοῖς πεντακισχιλίοις ἀπὸ κτίσεως κόσμου, ἀπὸ δέ γε Ἀλεξάνδρου ἀρχῆς ἑξακοσιοστοῦ ἔτους συμπεραινομένου[1], ὁ συναΐδιος καὶ παντέλειος καὶ ὁμοούσιος τῷ Θεῷ καὶ πατρὶ Θεὸς λόγος ὁ δημιουργὸς πάσης ὁρατῆς καὶ ἀοράτου φύσεως ἐκ πνεύματος ἁγίου καὶ τῆς ἀειπαρθένου Μαρίας ὑπὲρ ἡμᾶς γέγονε καθ' ἡμᾶς καὶ τὴν ἐν σαρκὶ γέννησιν ἔσχηκε καὶ πᾶσαν τὴν οἰκονομίαν ἀναμαρτήτως τετελεκὼς καὶ εἰσειργάσατο θαυμασίως[2] Θεὸν ἑαυτὸν ἀριδήλως ἀποδείξας, εἶτα καὶ σταυρὸν τῷ φθόνῳ τῷ ἰουδαϊκῷ ὑπομείνας ἑκουσίως διὰ τὴν τοῦ κόσμου σωτηρίαν καὶ τριήμερος τῶν νεκρῶν ἀναστὰς καὶ τοῖς οἰκείοις ὀφθεὶς μαθηταῖς καὶ ἐφ' ἱκανὸν αὐτοῖς συναλισθεὶς χρόνον καὶ τρανοτέραν τὴν περὶ αὐτοῦ γνῶσιν ἐνθεὶς αὐτῶν ταῖς ψυχαῖς, εἶτα καὶ εἰς οὐρανοὺς ἀναληφθεὶς καὶ ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς καθεσθεὶς ἐκεῖθεν κατὰ τὴν ἐπαγγελίαν τὸ πανάγιον αὐτοῦ πνεῦμα τοῖς ἑαυτοῦ ἔπεμψε[3] μαθηταῖς, ὃ δὴ καὶ ὡς ἐν εἴδει πυρίνων γλωσσῶν αὐτοῖς ἐπελθὸν καὶ ἐπικαθίσαν καὶ πάσης σοφίας καὶ τῆς τῶν σημείων δυνάμεως ἐμπλῆσαν αὐτοὺς πρὸς πᾶσαν ἀπέσταλκε τὴν ὑπ' οὐρανόν, οἳ δὴ καὶ ταύτην διαδραμόντες, πᾶσαν μὲν τὴν τῶν δαιμόνων κατήργησαν δυναστείαν καὶ τὴν τῶν εἰδώλων λατρείαν ἠφάνισαν, τὰ ἔθνη δὲ πάντα πρὸς τὴν ἀληθινὴν ἐχειραγώγησαν πίστιν, σημείοις καὶ τέρασι τὸν τῆς εὐσεβείας πιστωσάμενοι λόγον.

2. Ἐπεὶ δὲ χρόνος παρίππευσε συχνός, συνεστάλη * μὲν ἡ τῶν Ῥωμαίων ἀρχή, ηὐξήθη δὲ ἡ τῶν * Fol. 214v

1. — 1. καὶ *add.* F. — 2. θαυμασίοις F. — 3. Kurtz, πέμψε F.

Περσῶν· ἡνίκα καὶ Διοκλητιανὸν μὲν τὸν κάκιστον συνέβη οἷς οἶδε Θεὸς κρίμασιν ἐπειλῆφθαι τῆς τῶν Ῥωμαίων ἀρχῆς, τῆς τῶν Περσῶν δὲ Σαβώριον τὸν μιαρόν. Τοῖν δυοῖν τοίνυν βασιλέοιν παρανόμως τε καὶ ἀθέως τῆς ἀρχῆς Ῥωμαίων τε καὶ Περσῶν ἐπειλημμένοιν, βαρὺς διωγμὸς κατὰ τῶν εὐσεβούντων ἀνὰ πᾶσαν ἐκινεῖτο τὴν οἰκουμένην. Τότε τοίνυν καὶ ἡ καλλιπάρθενος καὶ θαυμαστὴ μάρτυς Ἴα — δεῖ γάρ με πρὸς αὐτὴν ἐλθεῖν, δι' ἥνπερ καὶ τὸν παρόντα[1] λόγον ἐνεστησάμην — ἱστόρηται τοῖς πρὸς ἡμῶν μὴ μόνον ἐν παρθενίᾳ καὶ τῇ προσηκούσῃ ἤδῃ[2] διηνυκέναι τὸν βίον, ἀλλά γε δήπου καὶ τὸν μαρτυρικὸν ἀνδρικῶς δίαυλον ὑπέρ τε τῆς τοῦ Χριστοῦ δόξης διαδραμεῖν καὶ διπλοῦν τὸν τῆς δικαιοσύνης κομίσασθαι στέφανον.

3. Ταύτης τοίνυν τὴν ἀρετήν, ἣν παρθενία καὶ ἄσκησις καὶ οἱ ὑπὲρ τῆς[1] εὐσεβείας ἀγῶνες ὑπερφυεῖς καὶ ἆθλοι μαρτυρικοὶ συνεστήσαντο, προῃρημένος ὑπογράψαι τῷ λόγῳ καὶ ὡς ἀρχέτυπόν τινα πίνακα τοῖς μεθ' ὕστερον παραδοῦναι, ὡς ἂν ἕκαστος πρὸς αὐτὴν βλέπων ἀπευθύνῃ τὸν βίον, πρῶτον μὲν εὐξαίμην ἂν τῷ Θεῷ αἰσίως μοι συμπερᾶναι τὸν λόγον καὶ κατὰ σκοπὸν τῆς ψυχῆς καὶ τῶν ἀξιωσάντων ἐκπληρῶσαι τὸ βούλευμα· ἔπειτα δὲ συμβουλεύσαιμι ἂν καὶ πᾶσι τοῖς τῶν καλῶν ἐρασταῖς προσεσχηκέναι τῷ λόγῳ τὸν νοῦν· καὶ γὰρ ἂν θαυμάσαιεν καὶ τὸν Θεὸν ἐπὶ τούτῳ δοξάσαιεν διηγουμένῳ τῆς θαυμαστῆς μάρτυρος Ἴας τὰ κατορθώματα καὶ πρὸς τὸν ὅμοιον διεγερθῆναι ζῆλον θελήσαιεν, οὐ μόνον διὰ τὸ ὑπερφυῆ ταῦτα εἶναι, ἀλλά γε πολλῷ μᾶλλον διὰ τὸ καὶ θῆλεος καὶ ἐπὶ τοσοῦτον εἰς ἀνδρίας ἱκέσθαι ὑπερβολὴν τῷ τε τῆς ψυχῆς εὐσταθεῖ καὶ τῷ τῆς προαιρέσεως εὐγενεῖ, ὡς καὶ πολλοὺς τῶν ἐν τοῖς μαρτυρικοῖς ἄθλοις διαλαμψάντων θείων ἀνδρῶν ὑπερβαλεῖν· εἰ δέ γε καὶ οἱ ἄλλως ἔχοντες βουληθεῖεν διαναστῆναι καὶ πρὸς τὸ φῶς διαβλέψαι τῆς μαρτυρικῆς ἀρετῆς, ἀποτιναξάμενοι ὅσην ἐφιζάνουσαν ταῖς ψυχαῖς κέκτηνται ῥαθυμίαν, *τάχ' ἂν καὶ οὗτοι τὸν βίον πρὸς τὸ κρεῖττον δυνηθέντες μεταθεῖναι γένοιντ' ἂν[2] ἄξιοι τῆς θείας χάριτος μετασχεῖν.

* Fol. 215

4. Ἔστι μὲν οὖν τῆς ἀρετῆς δήπου τῶν ὄντων κρεῖττον οὐδέν, ἀλλ' οὐδὲ τῷ Θεῷ οἰκειότερον τῶν μετιόντων αὐτήν· ἐπαινέτης δὲ ταύτης ὁ λόγος, συνεπαίρων καὶ τοὺς κατορθοῦντας αὐτήν· καὶ γὰρ οὐδὲν οὕτω διατίθησιν ἀρετῆς φίλον ἄνθρωπον καὶ πρὸς πόθον ταύτης ἀνάπτει, ὡς λόγος δήπουθεν ὑπεξαίρων αὐτὴν καὶ οἰκειότατον δεικνὺς εἶναι κτῆμα Θεῷ, ὡς καὶ τὰ τοῦ σώματος ἐντεῦθεν ὑπερορᾶν καὶ συνῳδὰ τῷ προφήτῃ βοᾶν, οὐ μόνον τοῦθ' ὅτι « ἐν τῷ τοῦ Θεοῦ ἐξελεξάμην οἴκῳ παραρριπτεῖσθαι » ἀλλ' ὅτι καλλίστων διηγημάτων μᾶλλον ἀκηκοέναι, ὅσαπερ τὸ κέρδος οἶδε φέρειν ἐς τὴν ψυχήν, ἤπερ ἱστοριῶν, αἷς οἰκοδομῶν μεγέθη καὶ πόλεων θέσεις καὶ ἀέρων κράσεις καὶ εὐθηνίαι πραγμάτων ἐκφέρονται· οὕτω μὲν οὖν ὁ τῆς ἀρετῆς φίλος ἄνθρωπος καλῶς ἐννοήσας λέξει καὶ ἑαυτὸν ἀναπτερώσει πρὸς ἀρετήν· ἂν δὲ καὶ γυναῖκα μάθοι ἐργάτιν γεγονέναι τῆς ἀρετῆς ἐπὶ τοσοῦτον, ὡς καὶ μαρτυρικοῖς στεφάνοις κοσμηθῆναι ταύτην πρὸς τοῦ Θεοῦ, ὅσην ἂν τὴν ἡδονὴν κτήσαιτο καὶ πρὸς ἀρετὴν ἐπίδοσιν; Ἐγὼ δὲ ἐπειδήπερ προὐθέμην τῆς θαυμαστῆς καὶ καλλιπαρθένου μάρτυρος Ἴας τὴν ἀρετὴν τῷ λόγῳ διαλαβεῖν καὶ ὡς ἐνὸν ὑπογράψαι ταύτην τοῖς βουλομένοις οἰκειωθῆναι Θεῷ, ἤδη πρὸς αὐτὴν βαδιοῦμαι τὴν τῆς ὑποθέσεως ἀρχήν.

5. Σαβωρίου τοῦ ἀσεβοῦς βασιλέως Περσῶν διωγμὸν κατὰ πᾶσαν τὴν ὑπ' αὐτὸν χώραν κεκινηκότος, τῇ τοῦ πονηροῦ μανίᾳ συνισχημένου, ὡς ᾑρημένου τὸ τῶν χριστιανῶν ἅπαν ἐκτρῖψαι γένος, μάλιστα μὲν καὶ δι' ἑαυτοῦ τοῦτο ποιεῖν ἔσπευδε, μάλιστα δὲ καὶ διὰ τῶν ὑπηρετουμένων αὐτῷ, ἔτι γε μὴν καὶ διὰ τῶν μάγων, ὧν ὁ τοῦ πυρὸς ζῆλος περιφρονουμένου τὰς ἀσεβεῖς ἐξέκαιε ψυχάς. Ἐντεῦθεν ἦν ὁρᾶν θέαμα ἐλεεινὸν καὶ οὐδ' αὐτοῖς τοῖς κακοῖς φορητόν, μὴ ὅτι γε τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσι τὸν τρόπον· ὡς γὰρ ὑπὸ θηρῶν τῶν ἀσεβῶν *Περσῶν συνηρπάζοντο μὲν τοῖς ἀνδράσιν ὁμοῦ καὶ γυναῖκες καὶ παρθένοι σὺν νεανίσκοις· καὶ οὐδ' αὐτὴ τῶν βρεφῶν ἡ ἄωρος ἡλικία φειδοῦς ἠξιοῦτο, ἀλλὰ μυρίαις ὑπεβάλλοντο ταῖς κολάσεσι καὶ πικροῖς θανάτοις τῆς ζωῆς ἀπηλλάττοντο. Ὅσοι δὲ διαδρᾶναι τὴν ἔφοδον τῆς τῶν ἐκείνων χειρὸς ἴσχυσαν, τὴν ἔρημον ἐποιοῦντο πατρίδα καὶ τὴν μετὰ τῶν θηρίων ἠσπάζοντο οἴκησιν, θηρσὶ μᾶλλον κρίνοντες συνοικεῖν, ὀλίγα ἢ οὐδὲν τὰ σώματα βλάπτουσιν, ἢ ἀνθρώποις μὲν τὴν φύσιν θηρῶν δὲ χαλεπωτέροις οὖσι, σὺν τοῖς σώμασι καὶ τὰς ψυχὰς χωρίζουσι τοῦ Θεοῦ.

* Fol. 215v

2. — 1. παρὸν F. — 2. *ita* F; ἀσκήσει *vel quid simile exspectes*.
3. — 1. τῆς ὑπὲρ F. — 2. γένοιτ' αν F.

6. Οὕτω μὲν οὖν ἐχούσης τῆς τῶν Περσῶν ἀρχῆς καὶ οὕτω πασχόντων ὁπόσον ὑπήκοον ἦν, οὕτω δὲ καὶ εἰ κρατηθεῖεν αἰκιζομένων, εἰς δύο μὲν τὸ πρῶτον[1] ἐτέμνοντο τότε ἀσεβές τε καὶ εὐσεβές· καὶ τὸ μὲν κολάζον[2] ἦν, τὸ δὲ κολαζόμενον· καὶ τῶν κολαζομένων, ὡς ὑπὲρ εὐσεβείας ἀγωνιζομένων, οἱ μὲν ἀθλίως ὑπέκοπτον τὰς ἀνυποίστους βασάνους καὶ τοὺς δεινοὺς θανάτους μὴ φέροντες· οἱ δὲ τὰς ἐρήμους ἐπόλιζον, οἱ δὲ τοῖς ἀσεβέσιν γενναίως ἀντιταττόμενοι καὶ τὰ πολυειδῆ τῶν τιμωριῶν μηχανήματα ὡς οὐδὲν λογιζόμενοι ἀλλὰ καὶ μέχρι θανάτου τὴν καρτερίαν ἐπιδεικνύμενοι τοὺς τῆς νίκης στεφάνους ἀξίως ἐλάμβανον πρὸς Χριστοῦ.

7. Τότε τοίνυν καὶ ἡ θαυμαστὴ καὶ καλλιπάρθενος μάρτυς Ἴα ἐν τοῖς μεθορίοις Ἀρμενίων τε καὶ Περσῶν ἐγνωρίζετο ἐν τούτοις· καὶ γάρ, ὥς φασιν, ἐστὶ φρούριον, ᾧ Βυζαντὶς μὲν τοὔνομα, θέσεως δὲ καὶ τόπου καὶ ἐρυμνότητος εὖ ἔχον. Τοῦτο τὴν μακαρίαν ἤνεγκεν Ἴαν καὶ ὅσα καὶ πατρὶς αὐτῇ ἐχρημάτισε, καθὼς ἄρα καὶ ἡ περὶ αὐτὴν ἱστορία δηλοῖ· ἐν τούτῳ τοίνυν γεννηθεῖσα, πατράσι μὲν ἐχρήσατο τῆς ἀρετῆς ταύτης ἀξίοις, εἴπερ δὴ ὡς ἐπὶ τὸ πολὺ ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Αὐξηθεῖσα δὲ καὶ παιδευθεῖσα καὶ πρὸς ὥραν ἡλικίας ἐλθοῦσα, τὰ πάντα ἦν εὐγενής, τὴν ὄψιν περικαλλής, τὴν τῆς ἡλικίας ἀναδρομὴν ἰθυτενής, καὶ ἔτι γε μὴν τὴν τῆς ψυχῆς ἀρετὴν διαυγής, ὡς καὶ διὰ ταύτην πρὸς τὴν ἀρετὴν εὐσθενής.

8. * Οὕτω μὲν οὖν ἐχούσης, καὶ ὅσα δὴ τῷ Θεῷ οἰκειοῖ[1] τὸν φιλοῦντα τὴν ἀρετήν, συνέδραμεν ὡς * Fol. 216 αὐτήν. Καὶ γὰρ ὥσπερ τι θεμέλιον πρῶτον μὲν τὴν εὐσέβειαν ὑποθεμένη, ἔπειτα δὲ τὰς ἀρετὰς ἐπιθεμένη, οἷόν τινα συνεστήσατο θάλαμον, ὥσπερ τινὰς χρυσοῦς κίονας τὴν παρθενίαν τε καὶ τὴν μαρτυρικὴν ἄθλησιν πηξαμένη. Ἐν τούτοις γὰρ οὖν οὖσα καὶ οὕτω τὸν βίον ἀνύουσα, ὡς δοκεῖν ἐνδιαιτᾶσθαι ταῖς ἀρεταῖς καὶ τὴν ζωὴν τὴν ἀμείνω φαντάζεσθαι καὶ προσκεῖσθαι ταῖς τῶν καλῶν ἀναβάσεσι κἀντεῦθεν καὶ πρὸς τὸ ἄκρον τῶν ἐφετῶν ἐπανάγεσθαι καὶ τούτῳ μάλα καλῶς οἰκειοῦσθαι, οὐ μόνον εἰς τὸ μέτρον τῆς κατὰ Χριστὸν ἔφθασεν ἡλικίας, ἀλλά γε καὶ τῆς τοῦ σώματος, ὡς αὐτὸν ἤδη τὸν δαυϊτικὸν τῆς ζωῆς ὅρον ἐλθοῦσα.

9. Τηνικαῦτα τοίνυν, ὥς μοι καὶ λέλεκται, Σαβωρίου τοῦ δυσσεβοῦς τὸν διωγμὸν κατὰ τῶν εὐσεβούντων κινοῦντος, καὶ τὸ φρούριον, ὃ φθάσαντες ἔφαμεν, ἐφ᾽ ᾧ καὶ ἡ ἁγία Ἴα ἐποιεῖτο τὴν οἴκησιν, τοῖς Πέρσαις ἑάλω, καίπερ οὕτως ἔχον θέσεώς τε καὶ ἐρυμνότητος. Ὁ γάρ τοι[1] μιαρὸς ἐκεῖνος Σαβώριος παρά τισιν ἀναμαθών, ὅτι οὐ μόνον πολὺν φέρει τὸν πλοῦτον, ἀλλ᾽ ὅτι καὶ χριστιανῶν πολύ τι κέκτηται πλῆθος, ἐκστρατεύει κατ᾽ αὐτοῦ καὶ συχναῖς ἡμέραις χώμασί τε καὶ πολλοῖς ἑτέροις μηχανήμασι πολιορκήσας[2] καὶ ἐγκρατὴς γενόμενος — τῆς ἀνοχῆς σου, Χριστὲ βασιλεῦ, καὶ τῶν ἀνεφίκτων σου καὶ ἀκαταλήπτων κριμάτων, οἷς προνοίας χαλινοῖς διεξάγεις τὰ πάντα — καὶ πολλῶν ἀνδρῶν χιλιάδας ἀνδραποδισάμενος σὺν γυναιξὶ καὶ παισὶ καὶ τοὺς μὲν αἰχμαλώτους θέμενος τοὺς δὲ παρανάλωμα ξιφῶν ποιησάμενος, οὕτω πρὸς τὴν ἰδίαν ἐπανέζευξε χώραν[3]. Ἐντεῦθεν καὶ ἡ παρθένος Ἴα, γηραιὰ ἤδη οὖσα τὴν ἡλικίαν, αἰχμάλωτος ἀπήχθη σὺν τοῖς λοιποῖς.

10. Ἀλλ᾽ οἱ μὲν ἄλλοι πρὸς δουλείαν, οἷα τὰ τῆς αἰχμαλωσίας, διεσπάρησαν· ἡ δὲ θαυμασία μάρτυς, μαρτυρηθεῖσα τῆς τε ἀρετῆς καὶ τῆς εὐσεβείας εἰς ἄκρον ἐληλακέναι καὶ ὅτι τῶν ἀμφοτέρων κέκτηται * τὴν διδασκαλίαν καὶ ὡς οὐ μόνον τὰ τῶν οἰκείων τῆς πίστεως φρονήματα ἐπιστηρίζει, ὡς * Fol. 216v γενναίως τῆς τε ἀρετῆς καὶ εὐσεβείας ἀντέχεσθαι καὶ μέχρι θανάτου ὑπὲρ τούτων διαγωνίζεσθαι, μάλιστα μὲν οὖν καὶ δι᾽ αὐτὸ δήπου τὸ καλὸν καὶ τὸ αὐτῶν ἐπιθυμητόν τε καὶ ἐπέραστον, μάλιστα δὲ καὶ διὰ τὴν τῶν ἐλπιζομένων ἀγαθῶν ἀμοιβήν, ὥστ᾽ ἐν μηδενὶ τῶν παρόντων ἡττᾶσθαι[1] μήτε τοῖς τερπνοῖς[2] ἐπιχάσκειν μήτε μὴν τοῖς λυπηροῖς ἐπιπάσχειν ἀλλ᾽ ἐπιθυμητικῶς[3] πρὸς τὴν ὄντως ζωὴν ἐπερείδειν τὸν νοῦν, ἧσπερ τὸ κάλλος ἀμάραντον καὶ ἡ τῆς ἡδονῆς ἀπόλαυσις καθάπερ ἀπέραντος, ἀλλὰ καί τινας τῶν Περσῶν ἀπό γε τῆς σφετέρας θρησκείας ταῖς συνεχέσι διδασκαλίαις μεθαρμόζουσά τε καὶ μεταβάλλουσα, πείθει ἐκείνην[4] μὲν χαίρειν μᾶλλον δὲ οἰμώζειν ἐᾶν, τῆς δέ γε εὐσεβείας, ἧς αὐτὴ διδάσκαλος εἶναι βούλεται, ἀντιποιεῖσθαι καὶ χριστιανοὺς ἀντὶ πυρσολάτρας τε καὶ ἡλιολάτρας γίνεσθαι, ὡς

6. — 1. πρῶπον? F. — 2. κολάζειν F.
8. — 1. οἰκειοῦν F.
9. — 1. τι F. — 2. πολλιορκήσας F. — 3. χώρα F.
10. — 1. ἡττᾶσθαι F. — 2. τρεπνοῖς F. — 3. ἀλἐπιθυμητικῶς F. — 4. ἐκείνη F.

ἐντεῦθεν καὶ τῶν ἀθέσμων ἔργων ἀπέχεσθαι, οἷς φησι συμβαίνει καὶ τοὺς μάγους καὶ τοὺς λοιποὺς τῶν Περσῶν ἁλίσκεσθαι καὶ τὴν ὀργὴν ἐντεῦθεν τοῦ ὄντως Θεοῦ εἰς ἑαυτοὺς ἐπισπάσασθαι.

11. Ταῦθ' ὁ τύραννος[1] ὁ κατάρατός τε καὶ ἀσεβέστατος Σαβώριος ἀκηκοώς, πρὸς ἐξέτασιν τοῖς μάγοις ἐκδίδωσι τὴν ἁγίαν· οὗτοι γὰρ τὸ τηνικαῦτα ἐτάζειν τε καὶ ἐξετάζειν τὴν ἐξουσίαν εἰλήφεσαν[2] πρὸς τοῦ Σαβωρίου. Ἐδόκει καὶ γὰρ δεισιδαιμονεστέρους εἶναι τῶν ἄλλων. Ἀχθεῖσα τοίνυν ἡ μάρτυς καὶ κατενώπιον τοῦ πρώτου τῶν ἄλλων σταθεῖσα — καὶ γὰρ ἦν οὗτος τῶν πάντων μιαρώτερός τε καὶ ἀσεβέστερος καὶ πρὸς τὸ κολάζειν πικρότερος καὶ τοῖς τῶν χριστιανῶν αἵμασι μᾶλλον τερπόμενος — καὶ γὰρ εἰκὸς ἦν πλείω τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου διαβόλου τὴν ἐνέργειαν εἰς τὴν μιαρὰν φέρειν[3] ψυχήν· τούτῳ τοίνυν βήματος ἀρθέντος, ἡ καλλιπάρθενος Ἴα παραστάθεῖσα ἠρωτᾶτο καὶ ἐξητάζετο, οὐχ ὅτι τι [* Fol. 217 v] τῶν ἀθέσμων πεποίηκεν ἢ συνήργησέ τισιν εἰς τὸ * πράττειν κακῶς, ὧν δὴ τῶν ἁμαρτημάτων τὸ πλῆθος εἰσάγεται, ἀλλ' ὅτι μᾶλλον καὶ διδάσκουσα ἦν καὶ ἔργοις καὶ λόγοις παραινοῦσα τοῖς πᾶσι κακίας μὲν καὶ ἀσεβείας ἀπέχεσθαι, ἀρετῆς δὲ καὶ εὐσεβείας ἀντιποιεῖσθαι.

12. Ἐκείνων μὲν γὰρ λόγος ὅλως οὐκ ἦν τῷ καταράτῳ τυράννῳ· οἷς γὰρ ἐκεῖνος συνισχημένος ἦν, ἠγάπα μᾶλλον τούτων καὶ τοὺς ἄλλους ἀντέχεσθαι. ὧν δὲ μακρὰν ἀπῆν, τούτοις ἐμβλέπειν οὐδαμῶς ἐκείνοις[1] προσῆν· διὸ καὶ πρὸς τὸ κολάζειν μᾶλλον ἠπείγετο ἐλεγχόμενος, οἷς ἡ μάρτυς πράττουσα καὶ διδάσκουσα ἦν. Ἠτάζετο οὖν ἡ ἁγία τοῖν δυοῖν εὐθυνομένη, ὅτι τε οὐ λατρεύει τῇ κτίσει ἀφισταμένη Θεοῦ καὶ ὅτι πρὸς ἀρετὴν ἀλείφει καὶ διεγείρει τοὺς τῆς ἀληθείας προσκυνητάς.

13. Διά τοι τοῦτο ὁ πονηρὸς ἐκεῖνος δικαστής, τῆς οἰκείας ἀσεβείας καὶ τῶν αἰσχρῶν ἐκείνου πράξεων ἀντιποιούμενος, πρὸς τὴν πανθαύμαστον μάρτυρα τῷ θυμῷ τὴν καρδίαν πυρούμενος καὶ τὴν γλῶτταν ὀξεῖαν μάχαιραν φέρων ἠκονημένην θρασύτερον ἔλεγε· « Γηραιὸν γύναιον καὶ ὡς ὁρῶ πονηρόν » ὁ μιαρὸς πρὸς τὴν καθαράν, ὁ ἐναγής τε καὶ βέβηλος πρὸς τὴν ἁγίαν τὴν καὶ εὐωδίαν ἁγιασμοῦ σαφῶς ἀποπνέουσαν « τί, φησίν, οὐ προσκυνεῖς, οἷς ὁ βασιλεὺς αὐτὸς ἀπονέμει τὸ σέβας καὶ τὴν τιμὴν καὶ ἡ περὶ αὐτὸν σύγκλητος καὶ ὁ τῶν Περσῶν ἅπας λαός· ἀλλὰ ξένον καὶ τῶν συνήθων παρηλλαγμένον[1] εἰς τὸν βίον εἰσάγεις δόγμα, ἐσταυρωμένον Θεὸν ἀνακηρύττουσα καὶ τοῦτον τοὺς πολλοὺς ἀναπείθουσα σέβεσθαί τε καὶ προσκυνεῖν, ὡς ἐγὼ μὰ τὸ πῦρ καὶ τὸν ἥλιον, οἷς τὸ πᾶν διαυγάζεται, αἰσχύνομαι Θεὸν ἐσταυρωμένον ἀκούων. Εἰ μὲν οὖν ἐάσεις κηρύττειν, οἷς τοὺς πολλοὺς ἀπατᾷς καὶ ἃ δὴ ὥσπερ κωθωνιζομένη λάλεῖς, συμπλάττουσα γραώδη λογύδρια, ὡς ἐντεῦθεν βούλεσθαί σε μεγαλύνειν ὡς Θεὸν ἄντικρυς ἄνθρωπον βιοθανῆ, ὃν παῖδες Ἑβραίων ὡς κακοῦργον μυρίοις καθυπέβαλον τοῖς δεινοῖς καὶ τελευταῖον σταυρῷ προσηλώσαντες θανάτῳ παρέδωκαν· εἰ δ' οὖν, ἀλλ' ἐγώ σε καὶ ἄκουσαν ἀναγκάσω ἐκεῖνον μὲν ἀπαρνήσασθαι, [* Fol. 218] τοῖς ἡμετέροις δὲ συνθέσθαι[2] * καὶ τῷ θείῳ πυρὶ καὶ τῷ φανοτάτῳ ἡλίῳ ἀποδοῦναι τὸ σέβας. »

14. Οὕτω μὲν οὖν ὁ κάκιστος ἐκεῖνος διώκτης[1] διέβαλλέ τε καὶ ἠπείλει τὴν τοῦ Θεοῦ δούλην καὶ μεταθέσθαι πείσειν διισχυρίζετο, ἀνοηταίνων ἢ μᾶλλον τῷ σκότῳ τῆς ἀσεβείας τυφλώττων καὶ μηδὲ εἰδέναι δυνάμενος, ὅση τις ἦν ἡ δύναμις τοῦ Χριστοῦ· διὸ καὶ τοῦτο μὲν ἐπαγγελίαις ἀγαθῶν τὴν παρθένον ἀπατᾶν ἐπεχείρει, δόξαν καὶ πλοῦτον ἐπαγγελλόμενος[2] καὶ σωρείαν μυρίων ἀγαθῶν καὶ βασιλέως οἰκειότητα μητρικὴν καὶ τὰ πρωτεῖα φέρειν εἰς τὴν βασιλικὴν μεγαλειότητα καὶ μηδενὶ παρισοῦσθαι[3] τῶν ἄλλων. Τοῦτο δὲ τὰ τῶν κολάσεων εἴδη τῷ λόγῳ προὐβάλλετο, λιμόν, στρεβλώσεις σώματος, ῥαβδισμούς, ξέσεις σαρκὸς καὶ τἄλλα « οἷς ἡμεῖς οἴδαμεν κολάζειν τοὺς ἀπειθοῦντας, φοβερά, ὦ γύναι, εἰς ὄψιν καὶ μόνον ἐρχόμενα ». Ταῦθ' ὁ μὲν ἔλεγε καὶ δι' ἀμφοῖν τὴν ἀπάτην πλέκων, τὴν μάρτυρα συνθέσθαι τῇ ἀσεβείᾳ κατήπειγεν.

15. Ἡ δὲ πρῶτον μὲν ἠσπάζετο τὴν σιωπὴν καὶ τὴν πρέπουσαν θεοσεβέσι γυναιξὶν ἡσυχίαν ἐφύλαττεν· ἐπεὶ δὲ πλειστάκις ἠναγκάζετο λέγειν καὶ πρὸς βίαν ἔνθεν κἀκεῖθεν εἵλκετο[1] τοῖς δημίοις ἡ σεμνὴ παρθένος, σεμνῶς τὸ στόμα διάρασα καὶ τὴν θείαν ἐκείνης καὶ ἡγιασμένην γλῶτταν κινήσασα, ἥτις καὶ

11. — 1. τύρανος F. — 2. Kurtz, εἰληφέναι F. — 3. φέρει F.
12. — 1. ἐκεῖνος F.
13. — 1. παρηλαγμένον F. — 2. συνθέσαι F.
14. — 1. καὶ *add.* F, *delevi.* — 2. ἐπαγγελόμενος F. — 3. περισοῦσθαι F.
15. — 1. Kurtz, εἶλετο F.

πολλὰ μὲν ἔν τε τοῖς κρίμασι καὶ δικαιώμασιν ἐμελέτησε τοῦ Θεοῦ, μυρία δὲ τῶν ἀγαθῶν καὶ τοῖς ἄλλοις ὑπέθετο καὶ τὴν δόξαν διετράνωσε τοῦ ὄντως Θεοῦ ἡγεμονεύοντος τοῦ θείου ταύτης νοῦ, ἐκεῖνα διελάλησε καὶ διεβεβαιώσατο, οἷς καὶ ἄγγελοι προσσχόντες[2] ἠδέσθησαν ἄν, ὧν ὁ ἀνόητος ἐκεῖνος δικαστὴς ἀσπὶς ἦν ἄντικρυς βύων τὰ ὦτα καὶ οὐκ ἐθέλων αἰσθέσθαι τῶν λεγομένων. « Ἐγὼ μέν, » ἡ μάρτυς πρὸς τὸν δικάζοντα ἔφη, « κρεῖττον ἡγοῦμαι σιωπᾶν ἐφ' οἷς ἀναγκάζεις ἡμᾶς ἀποκρίνασθαι. Ἐν γὰρ τοῖς ἀνοήτοις ἐρωτήμασιν ἡ σιωπὴ κρείττων τοῦ λέγειν καὶ τοῦ ἐσπουδακέναι πρὸς ἀντιλογίαν χωρεῖν. Τῶν γὰρ βδελυρῶν λόγων καὶ ἀνοσίων — τί δὲ βδελυρώτερον ἀσεβείας; — τὸ ὅλως ἀκούειν τοῖς ἐθέλουσιν εὐσεβεῖν οὐ φορητόν, μὴ ὅτι γε καὶ πρὸς ἀντιλογίαν ἐκείνων ἐθέλειν * ἀντιτάττεσθαι, οἴκοθεν ἐχόντων τὸν ἔλεγχον. * Fol. 218

16. « Ἐπεὶ δὲ αὐτὸς σπεύδεις, ὦ δικαστά, ἀπαιτῶν τὴν ἀπόκρισιν, ἐκεῖνό σοι πρῶτον ἀποκρινοῦμαι, ὃ καὶ πάλαι τοῖς θεοσεβέσι τρισὶ παισὶν ἤρκεσεν εἰς ἀπολογίαν, ὅτι τῷ θεῷ σου τούτῳ τῷ ἀναισθήτῳ πυρὶ οὐ λατρεύσω· μωρία γὰρ ἄντικρυς, μᾶλλον δὲ καὶ ἐσχάτη παραπληξία τῷ μηδὲ αἴσθησιν ἔχοντι, ὁποίαν δὴ καὶ ἡ τῶν ἀλόγων ζώων ἔλαχε φύσις, θεϊκὴν ἀπονέμειν τιμήν· ὅτι δὲ καί, τῶν δύο εἰ θατέρῳ χρήσαιτό τις, δύναιτ' ἂν αὐτὸ ἀφανίσαι, δῆλον ἐκεῖθεν· ἄν τε γὰρ αὐτῷ μὴ προσφέρῃ τὴν ἁρμόζουσαν ὕλην, ἄν τε ὕδωρ ἐπαφῇ, οἴχεται καὶ ἀπόλλυται. Ἔπειτα δὲ οὐδὲ τῷ ἡλίῳ προσκυνήσαιμι ἄν, εἰ καὶ κάλλιστον ἄστρον ὁρᾶται, κτίσματι ὄντι τοῦ ἐμοῦ Θεοῦ. Ἔχεις τοίνυν τὴν ἀπολογίαν τῆς σῆς παραπληξίας. Λέξω σοι δὲ καὶ περὶ τοῦ ἐμοῦ Θεοῦ, τοῖς αὐτοῦ ἑκουσίοις ἐγκαυχωμένη παθήμασιν, ὅτι Θεὸς ὢν ἄναρχός τε καὶ ἀΐδιος, αἰτίαν ἔχων μόνην ἀρχῆς τὸν γεγεννηκότα Θεὸν καὶ πατέρα ἀνέκφραστον καὶ ἀκατάληπτον, οὗτος τὰ πάντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε τά τε ἄλλα τῶν σωμάτων καὶ τὰ ἐξ αὐτῶν γεγενημένα.

17. « Οὗτος τὸν ἄνθρωπον ἐδημιούργησε καὶ βασιλέα τῶν ὁρωμένων κατέστησε· τοῦτον ὑπὸ τοῦ πονηροῦ δαίμονος ἀπατηθέντα καὶ τῆς ἀθανάτου δόξης στερηθέντα οὗτος ὁ ἐμὸς Χριστὸς ὡς ἀγαθὸς ὢν καὶ φιλάνθρωπος ἐλεήσας, ἤδη πρὸς τὰ τέλη τῶν αἰώνων ἐκ παρθένου ἁγίας καὶ πνεύματος ἁγίου Θεὸς ὢν τέλειος καὶ ἀψευδὴς τέλειος γέγονεν ἄνθρωπος καὶ μυρίοις θαύμασι σημείοις τε καὶ τέρασιν υἱὸν Θεοῦ καὶ Θεὸν εἶναι ἑαυτὸν τοῖς πᾶσι παρέστησεν, εἶτα καὶ σταυρὸν ἑκουσίως κατεδέξατο, τῷ φθόνῳ καὶ τῇ κακίᾳ τῶν πονηρῶν Ἑβραίων εἰς σωτηρίαν τῆς ἀνθρωπίνης φύσεως χρησάμενος, οὐ μὴν δὲ ἀλλὰ καὶ τῷ σταυρῷ προσηλωμένος ἐκλόνησε μὲν τὴν γῆν, διέρρηξε δὲ τὰς πέτρας, ἐσκότισε δὲ τὸν ἥλιον, ὃν καὶ αὐτὸς ὡς Θεὸν προσκυνεῖς, καὶ εἰς νύκτα τὴν ἡμέραν * μετέβαλε, καὶ νεκροὺς τῶν τάφων * Fol. 218v ἀνέστησε καὶ τριήμερος τῶν νεκρῶν ἀναστὰς καὶ εἰς οὐρανοὺς ἀνελθὼν καὶ ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς καθεσθεὶς καὶ τὸ πανάγιον αὐτοῦ πνεῦμα ἐξαποστείλας τοῖς ἑαυτοῦ μαθηταῖς δι' αὐτῶν τῆς τῶν δαιμόνων μανίας τὴν οἰκουμένην ἐλυτρώσατο καὶ πρὸς ἑαυτὸν ἐπεσπάσατο. Ταῦτα τοίνυν, ὦ δικαστά, οὐ διαβολῆς ἀλλ' ἐπαίνων ἄξια πέφυκεν· ὁρᾷς, ὅσον γέγονε τὸ τῆς οἰκονομίας κέρδος· ὁρᾷς, πῶς τῆς πλάνης ἀπέστημεν καὶ ἔμπροσθεν τῆς ἀληθείας ἔστημεν· ὁρᾷς, πῶς ἡμῖν τὸ τῆς θεογνωσίας φῶς ἀνέτειλε καὶ τὸν ποιητὴν οὐρανοῦ τε καὶ γῆς διεγνώκαμεν. Νῦν ἡμῖν ἥλιος οὐ προσκυνεῖται, νῦν σελήνη οὐ δοξάζεται, νῦν τὸ πῦρ οὐ λατρεύεται[1].

18. « Τί δ' ἂν εἴπῃς περὶ τῆς τῶν ἄλλων κτισμάτων εὐτελείας, ἐφ' οἷς οἱ δαίμονες τοὺς ἀνοήτους ἀπατήσαντες εἰς ἱεροὺς[1] τοῦ Θεοῦ τὴν τιμὴν ἐπεσπάσαντο; μὴ τοίνυν, δικαστά, εἴπερ ἐθέλεις δίκαιος εἶναι δικαστής, ἐξ ὧν ἀκήκοας παρ' ἡμῶν, παρίδῃς μὲν τὴν ἀλήθειαν, ἀντιποιήσῃ δὲ τῆς ἀσεβείας τοῦ ψεύδους, ἀλλὰ διανάστηθι καὶ πρὸς τὸ τῆς εὐσεβείας βλέψον φῶς· καὶ ἀποβαλοῦ μὲν τὴν ἀπάτην, ἐθέλησον δὲ συνθέσθαι τῇ εὐσεβείᾳ καὶ σὺν ἡμῖν δοξάσαι τὸν ὄντως ὄντα Θεόν. Εἰ δ' οὖν, σὺ μὲν ἔχου τῆς οἰκείας δόξης, ἵνα μὴ λέγω καὶ ἀνοήτου ἀπάτης, ἡμᾶς δὲ ἔασον μένειν ἐν οἷς μεμαθήκαμεν καὶ τῆς οἰκείας ἔχεσθαι σωτηρίας. »

19. Οὕτω γοῦν τῆς μάρτυρος ἀπολογισαμένης καὶ τοὺς φληνάφους λόγους ἐκείνου ἀνασκευασάσης καὶ διελεγξάσης τῶν σεβασμάτων αὐτοῦ τὴν ἀπάτην, ἐκεῖνος πολλοῦ γε καὶ δεῖ εἰπεῖν, ὅτι συνῆκεν οἷς ἡ μάρτυς εἴρηκε πρὸς αὐτόν, ὅπου γε ἀνοηταίνων ὅσα καὶ ὄνος πρὸς λύραν τοῦ λόγου ἐδόκει·

2. προσχόντες F.

17. — 1. (νῦν-λατρεύεται) *bis scribit* F.

18. — 1. *ita* F.

καὶ πῶς γὰρ ἔμελλε συνιέναι, ἀσύνετος ὢν καὶ ὥσπερ τις παραπλὴξ ἔκφρων καὶ μηδὲ ἐπιστροφὴν (* Fol. 219v) ὧν * ἔροιτο τῇ μάρτυρι ποιεῖσθαι βουλόμενος; οὕτω κακὸς ἦν οἴκοθεν καὶ τὸ συνοῖσον μὴ ἐθέλων κατασχεῖν εἰς ψυχήν. Ἐπιστραφεὶς γὰρ πρὸς τοὺς συνόντας αὐτῷ διηρώτα, ὥσπερ εἰ μὴ παρὼν τοῖς λεγομένοις τῇ μάρτυρι, « Τί βούλεται τῷ γυναίῳ ταυτὶ καὶ τὸ εἰρῆσθαι ταύτῃ τοσοῦτον ὄχλον ῥημάτων, ὡς καὶ τὰς ἀκοὰς ἐμοῦ βαρυνθῆναι; καὶ νὴ τὸν ἥλιον τὸν ἐμοὶ προσφιλῆ, μικροῦ δεῖν καὶ εἰς ὕπνον κατενεχθῆναί μοι γέγονε. »

20. Οἱ δὲ μὴ εἰδότες οἷς ἐκεῖνος ἔπασχε, πρὸς ἀλλήλους διηπόρουν· ὁρῶντες ὅμως μέντοι πρὸς αὐτὸν ἀπεκρίναντο· « Οὐκ οἴδαμεν, ὅπως προβάλλῃ τὴν ἄγνοιαν· δοκεῖς[1] γὰρ ἡμῖν πρὸς δοκιμὴν οὕτω προσποιεῖσθαι τὸν ἀγνοοῦντα· εἰ δ' οὖν, ἀλλ' ἔγγιστα τὸ γύναιον ἕστηκε καὶ εἰ βούλει ταύτην καὶ αὖθις ἄγε πρὸς τὴν ἐρώτησιν· καὶ γὰρ πάρεστιν ὁρᾶν, ὅτι ἐμφρόνως τὴν ἀπολογίαν ἐποιήσατο· καὶ πάντως οὐκ ἀπορήσει καὶ αὖθις, ὡς εἰκός, ἀπολογηθῆναι. » Καὶ ὅς· « Ἐγὼ μὲν ἠρόμην ταύτην, διὰ τί οὐ νέμει τιμὴν τοῖς ἡμετέροις θεοῖς καὶ διὰ τί τὸν ἐσταυρωμένον ὡς Θεὸν θέλει τιμᾶν; Αὐτὴ δὲ τὸ πρῶτον μὲν τὴν σιωπὴν ἠσπάζετο ὡς ὑπεκρίνετο καὶ ἄναυδος ἦν, ἔπειτα δὲ τὰ χείλη διάρασα καὶ ὡς γυνὴ τὴν ἀπολογίαν δόξασα ποιήσασθαι ῥήτορος ἄντικρυς μεγαλοφωνίαν καὶ πιθανολογίαν ἐπεδείξατο, ὧν ἐγὼ τοῖς ψόφοις τὰ ὦτα καταβροντηθεὶς ὀλίγου δεῖν ἕτερος γέγονα ἀνθ' ἑτέρου, ὥς μοι καὶ λέλεκται ». « Ἀλλ' ὦ γύναι », ἐπιστραφεὶς πρὸς τὴν μάρτυρα εἴρηκεν, « εἰ μὴ θελήσειας τὴν πλάνην καταλιπεῖν, ᾗ[2] συνισχημένη τυγχάνεις, καὶ τὴν πολυθρύλλητον ταύτης κακόνοιαν, εἰς πεῖραν πάντως ἥξεις ὧν σοι καὶ πρότερον κολάσεων εἴρηκα. »

21. Ἡ δὲ μάρτυς· « Οὐδαμῶς, δικαστά, δεῖ με πάντως τὸ τῆς εὐσεβείας καταλιπεῖν φῶς, πρὸς δὲ τὸν ζόφον τῆς σῆς ἀσεβείας ἐλθεῖν καὶ ἀψύχοις κτίσμασι θεϊκὴν ἀποδοῦναι τιμήν. » Ἐντεῦθεν ὁ δικάζων (* Fol. 219v) τῷ θυμῷ ὑπερζέσας καὶ ἥττων τῆς ὁρμῆς γεγονώς· « Πονηρότατον, ἔφη, γύναιον, * οὐ βούλει τὸ καλὸν συνιδεῖν; οὐχ ὁρᾷς βασιλέα ἔμφρονα καὶ μέγαν τὴν τιμὴν τοῖς θεοῖς ἀπονέμοντα κἀντεῦθεν τὴν εὐημερίαν λαμβάνοντα καὶ δόξῃ καὶ πλούτῳ βρίθοντα καὶ αὐξανομένην ἔχοντα τὴν ἀρχήν, ὡς πᾶσι περιρρεῖσθαι[1] τοῖς ἀγαθοῖς, καὶ μὲν δὴ καὶ τοὺς ὑπ' αὐτὸν τεταγμένους ὅσοις φαιδρύνονται τοῖς τερπνοῖς; ἀλλὰ δὴ καὶ αὐτοὺς ἡμᾶς οὐχ ὁρᾷς ὁπόσην πλουτοῦμεν σοφίαν, δι' ἧς τὰ ὄντα γινώσκομεν καὶ ὅσα ἐξ αὐτῶν τίκτεται; εἰ γοῦν βασιλεὺς αὐτὸς καὶ ἡμεῖς, οἱ τοσαῦτα εἰδότες καὶ τηλικαῦτα, τοῖς θεοῖς ὑποκύπτομεν καὶ τὸ σέβας αὐτοῖς ἀπονέμομεν, σὺ τίς εἶ καὶ πρὸς τίνα θαρροῦσα τοσοῦτον ὑποδεδέχθαι πόλεμον βούλει, λόγοις ματαίοις ἠπατημένη καὶ ὑποτυφομένη, καὶ τῆς τῶν παρόντων γλυκείας ἡδονῆς κολάσεις ἀνθαιρῇ, αἵ σε ὑποδέξονται πάντως, εἰ μὴ προσελθοῦσα τοῖς ἀθανάτοις θύσεις θεοῖς· πρόσελθε τοίνυν, ἵνα μὴ πειραθεῖσα ὧν εἴρηται καὶ ἄκουσα τηνικαῦτα ποιήσεις τὸ κελευόμενον, ἡνίκα τάχα οὐδὲ χάρις σοι κείσεται παρ' ἡμῶν. » Καὶ ταῦτα μὲν ὁ τῆς κακίας ἐργάτης.

22. Ἡ δὲ γενναία καὶ μεγαλόφρων ἐκείνη παρθένος· « Τί σοι[1] ταυτὶ βούλεται, φησί, δικαστά; ὡς γὰρ ὁρῶ καθάπερ παιδίοις τισὶ προσομιλῶν κάθῃ μορμολύττων ἡμᾶς καὶ οἴει ἡμᾶς ἀπατήσειν τοῦτο μὲν ἐπαγγελίαις ἀγαθῶν, τοῦτο δὲ φοβήσειν κολάσεων ἀπειλαῖς· κἀντεῦθεν φαίνῃ μᾶλλον παίζων, οὐ σπουδάζων, οἷς ἔδει σε μᾶλλον αἰσχύνεσθαι ἢ παρρησιάζεσθαι· ὧν γὰρ τὸ φρονεῖν ἀπερίτρεπτον καὶ ὧν ἡ ψυχὴ ἐπὶ τῇ τῆς πίστεως πέτρᾳ ἰσχυρῶς ἥδρασται, τούτοις οὐδὲν τῶν παρόντων μέγα ἢ φοβερὸν εἶναι δοκεῖ· ἐπίσης γὰρ τά τε ἡδέα τά τε λυπηρὰ τοῦ παρόντος ἥγηνται βίου, τῆς πρὸς Θεὸν εὐσεβείας μόνης ἀντιποιούμενοι καὶ τῆς ἐλπίδος τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν καὶ αὐτὴ εἶναι σπεύδουσα μετὰ τοῦ προφήτου βοῶ· οὐ μόνον ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου ἐν τοῖς ὑμετέ- (* Fol. 220) ροις ἀγαθοῖς, ἀλλὰ κἂν τοῖς ἐναντίοις ἰσχυροτέρα καὶ σιδήρου παντὸς εὑρεθήσεται. * Τοιγαροῦν μὴ μέλλε, ἀλλὰ κόλαζε· ἡμᾶς γὰρ οὐχ αἱρήσεις, ὅτι δ' ἂν καὶ ποιήσῃς. » Ἐπεὶ δὲ καὶ ἔτι τῆς μάρτυρος ἐχομένης τοῦ λόγου ἐγκόψας καὶ ἐπιγελάσας ὁ ἀσεβὴς δικαστής· « Τί ταῦτα, ὦ γύναι; ὥσπερ, ἔφη, νήθουσα ἀναλύειν ἐθέλεις τοὺς λόγους καὶ τὰ ἡμέτερα μὲν ἐξουδενεῖν τὰ οἰκεῖα δὲ ὑπερθαυμάζειν σπουδάζεις; πρόσελθε τοίνυν[2], θῦσον μεθ' ὅσης τῆς εἰλικρινείας, ἵνα μὴ πειραθήσῃ ὧν πολλάκις εἰρήκειν. »

20. — 1. δοκεῖ F. — 2. ἧς F.
21. — 1. περιρεῖσθαι F.
22. — 1. τί σὺ F. — 2. τοίνειν F.

23. Εἶπε καὶ ὑπ' ἀπορίας ἥττων γενόμενος τοῦ θυμοῦ διαταθῆναι κελεύει τὴν μάρτυρα καὶ ῥάβδοις ἀνηλεῶς ὅλον τὸ σῶμα μαστίζεσθαι. Ῥαβδιζομένης τοίνυν σφοδρῶς καὶ τοῦ αἵματος τοῦ σώματος καταρρέοντος, καὶ τούτῳ φοινισσομένης τῆς γῆς, μετάμελον λαμβάνειν ὁ τύραννος συνεχῶς ἐπεβόα, εἰ βούλοιτο συγγνώμης τυχεῖν καὶ μὴ κακῶς ἀπολέσθαι. Ἡ δὲ οὔτε φωνὴν ἠφίει οὔτε στεναγμὸν οὔτε δάκρυον, ἀλλ' ὥσπερ ἑτέρου πάσχοντος οὕτω διέκειτο καὶ τὸν νοῦν [1] εἶχε πρὸς τὸν Θεὸν κἀκείνῳ προσομιλεῖν ἐῴκει καὶ τὴν βοήθειαν παρ' ἐκείνου ἐπιζητεῖν, τοῦ ταχινοῦ πρὸς ἀντίληψιν, τοῦ ἀγαθοῦ πρὸς ἐπικουρίαν, τοῦ ὑπερασπίζοντος καὶ χεῖρα ὀρέγοντος τοῖς ἐκζητοῦσιν αὐτόν.

24. Ἐπεὶ δὲ ἡ τιμωρία ἐφ' ἱκανὴν ὥραν ἐπιταθεῖσα, νεκρωθῆναι τὴν μάρτυρα ἔδοξε, τοῖς μαστίζουσιν ὁ τύραννος ἀνεθῆναι ταύτην ἐκέλευσεν, οὐκ ἔλεος ταύτης λαβών, οὐ συμπάθειαν οὔτε μὴν σπλάγχνα οἰκτιρμῶν — πῶς γὰρ ἀπηνὴς ὢν καὶ πρὸς τὸ κολάζειν θηρίου παντὸς ἀγριώτερος; — ἀλλὰ θατέρου προσδοκῶν τοῖν δυοῖν ἐπιτεύξασθαι· καὶ γὰρ ὑπελάμβανεν [1] ἢ λόγοις αὐτὴν τῆς ἐνστάσεως καθυφεῖναι πεῖσαι ἢ μὴ ἀπὸ πρώτης βασάνου ἀποθανεῖν [2], πρὶν πολλαῖς τιμωρίαις προσομιλήσασαν οὕτω τῆς παρούσης ἀπαλλαγῆναι ζωῆς. Τοιγάρτοι καὶ φυλακῇ ταύτην δίδωσι καὶ βραχύν τινα πρὸς διάσκεψιν χρόνον [3]...

25. Ἡ δὲ καθειρχθεῖσα τῶν συνήθων πρὸς Θεὸν εἴχετο εὐχῶν τε καὶ ψαλμῳδιῶν, ἐν συντετριμμένῃ καρδίᾳ καὶ πνεύματι ταπεινώσεως * ἱλεουμένη τοῦτον, ὥστε πρὸς τοὺς προκειμένους ἀγῶνας δύναμιν * Fol. 220v χορηγῆσαι εἰς τὸ εὐψύχως τὸν τοῦ μαρτυρίου δίαυλον διανύσαι καὶ πρὸς αἴσιον τέλος καταντῆσαι καὶ μὴ ἀποστοχῆσαι τὸν τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον· οὕτως οὖν τὸν Θεὸν ἐξευμενισαμένῃ, εἰς δεξιὸν τέλος ἀπέβη ταύτῃ τὰ τῆς εὐχῆς· οὕτω γὰρ εὐεπήκοον τὸν ταύτης νυμφίον ἔσχε Χριστόν, ὡς καὶ τῶν πληγῶν καὶ τῶν μωλώπων τῇ τούτου δυνάμει ἀπαλλαγῆναι καὶ ὅλην ἀνθηρὰν καταστῆναι καὶ εὐψυχίαν ἀναλαβεῖν καὶ ἰσχυροτέραν γενέσθαι πρὸς τὰς μελλούσας ἐπάγεσθαι ταύτῃ κολάσεις. Ἀλλ' οὕτω μὲν ἡ παρθένος καὶ μάρτυς θαυμασίας τῆς ἀντιλήψεως ἔτυχε τοῦ Χριστοῦ.

26. Ὁ δέ γε δεισιδαίμων ἐκεῖνος δικαστὴς μεθ' ἡμέρας τινὰς συνδιασκεψάμενος μεθ' ὧν καὶ τὴν ἀρχὴν εἶχεν, εἰς ἐξέτασιν καὶ αὖθις ἐξάγει τῆς φυλακῆς καὶ τῷ οἰκείῳ παρίστησι βήματι· ἡ δὴ καὶ κατενώπιον στᾶσα τοῦ ἀπηνοῦς δικαστοῦ, ὅλη φαιδρὰ καὶ ἔνδοξος τοῖς παροῦσιν ἐδείκνυτο, ὅλη χαρίεσσα, ὅλη ἀτεχνῶς ὑπερφυὴς καὶ τὴν ὄψιν περικαλλής. Οὕτως οὖν ἔχουσαν ὁ τύραννος ταύτην ἰδὼν ἐκπλήττεται μὲν τοῦ κάλλους αὐτὴν καὶ ἐν θαύματος λόγῳ ποιεῖται, καὶ μὴν δὴ καὶ οἱ συμπαρόντες οὕτω συνδιατίθενται, ὡς καὶ [1] ὑπολογίζεσθαι μὴ ταύτην ἐκείνην εἶναι δοκεῖν τὴν διενεγκοῦσαν τὴν πικρὰν βάσανον.

27. Ὅμως μέντοι τῆς ἐκπλήξεως ἀνενεγκὼν ὁ μωρόνους ἐκεῖνος δικαστὴς τοιάδε πρὸς τὴν μάρτυρα εἴρηκεν· « Τί τοῦτο, γύναι; πολλήν σοι βλέπω τὴν λαμπρότητα μετὰ τὴν βάσανον γενομένην, οὐκ οἶδ' ὅθεν καὶ ὅπως. Λέγε τοίνυν αὐτή, πῶς οὕτω ῥᾳδίως μεταβληθεῖσα πρὸς ἣν φαίνῃ κατέστης εὐπρέπειαν· καὶ γὰρ ὑπόνοιαν ἡμῖν δίδως ὑπολαμβάνειν μαγγανείαις σέ τισι χρήσασθαι· ἔπειτα δὲ λέγε καί, εἰ μεταμέλειά τις ὑπεισῆλθέ σοι εἰς τὸ ἀποθέσθαι μὲν τὴν πλάνην ὑφ' ἧς κατέχῃ, συνθέσθαι δὲ τῇ τοῦ βασιλέως ἀληθεστάτῃ θρησκείᾳ [1]. Δύο καὶ γάρ σοι τὰ κάλλιστα * ἔσται, εἰ τὸ ἀληθὲς ἐξείπῃς * Fol. 221 ἡμῖν, ἓν μὲν ὅτι τῶν μελλουσῶν σε βασάνων ἐκδέχεσθαι ἐκφεύξῃ τὴν πεῖραν, δεύτερον δὲ ὅτι καὶ ὧν πολλάκις εἰρήκειν ἀγαθῶν ἐπιτεύξῃ. »

28. Οἷς ἡ μάρτυς προσσχοῦσα [1] τὸν νοῦν, συνετῶς μάλα τοῦτο πρὸς αὐτὸν ἀπεκρίνατο· « Αὐτό σε [2], ὦ δικαστά, τὸ παρ' ἐμοῦ ζητεῖν τὸ ἀληθὲς μαθεῖν παρίστησι μηδέποτε κρεῖττον ἢ κάλλιον ἢ διανοηθῆναι ἢ καὶ εἰπεῖν. Λέγω γοῦν σοι, ὃ καὶ πολλάκις ἀληθεύουσα εἴρηκα, ὅτι θεοσεβὴς ἐγὼ καὶ μόνῳ τῷ ζῶντι λατρεύω Θεῷ, μαγγανείας [3] δὲ οὐ γινώσκω· αὗται γὰρ τῶν ὑμετέρων [4] εἰσὶ θεῶν, παρ' ὧν ὑμεῖς διενεργούμενοι καταλιμπάνετε μὲν τὸν ἀληθῆ Θεόν, αὐτοῖς δὲ ὅσα καὶ θεοῖς προσανέχετε. » Τούτων ὁ κάκιστος ἐκεῖνος δικαστὴς ἀκηκοώς, καίπερ τὸ ἀληθὲς μαθεῖν ἐπιζητῶν, μᾶλλον ὅλος ἐφωράθη

23. — 1. τὸ νοῦν F.
24. — 1. ὑπελάμμ/,, , εν F. — 2. ἀποθανοῦσαν F. — 3. *nonnulla deesse videntur.*
26. — 1. μὴ *add.* F.
27. — 1. θρησκείαν F.
28. — 1. προσχοῦσα F. — 2. αὐτός σε F. — 3. μαγγανείαις F. — 4. ἡμετέρων F.

τοῦ ψεύδους· οὐ γὰρ ἀπεύθυνε τὸν νοῦν πρὸς τὸ φέγγος τῆς ἀληθείας, ἀλλ' ὡς τόξον στρεβλὸν πρὸς τὴν ἰδίαν μετεστράφη κακόνοιαν· ἔδει μὲν γὰρ ἐκεῖνον μαθόντα τὸ ἀληθὲς ἢ πιστεῦσαι καὶ τῆς οἰκείας μεταβαλέσθαι δυσσεβείας ἢ τὴν μάρτυρα ἐᾶσαι ἀπιέναι, ὅποι καὶ βούλοιτο.

29. Ὁ δὲ τοῦτο μὲν οὐ πεποίηκε τῷ πονηρῷ διενεργούμενος δαίμονι, τὰ χαλεπώτατα δὲ τῇ μάρτυρι προσαπειλησάμενος καὶ τοῖς θυμοῖς ὥσπερ τις λέβης ἀναχαχλάσας καὶ ἥττων τοῦ πάθους γενόμενος σφοδρῶς ἀνεβόα· « Πῶς ταῦτα, ὦ γύναι, πῶς ταῦτα λέγεις; ἕτερα ἀνθ' ἑτέρων ἀποκρίνῃ, οὐ δέδοικας οὐδὲ τρέμεις, ἀλλὰ τῆς ἡμετέρας ἐθέλεις κατατρυφᾶν ἡμερότητος καὶ τὸ τοῦ δικαστηρίου φιλάνθρωπον ἐξουθενεῖν; ἢ οὐκ οἶσθα, ὅτι δι' ἅπερ λέγεις παρ' ἡμῶν κολάζῃ καὶ ἔτι σε καὶ αὖθις κολάζειν βουλόμεθα; ἡμεῖς γὰρ καταλιπεῖν σε τὸν ἐσταυρωμένον καὶ τὰς μαγγανείας ὁμολογῆσαι καὶ συγγνώμης τυχεῖν ἀναγκάζομεν, σὺ δὲ τοὐναντίον ἅπαν ποιεῖς· καὶ γὰρ κρύπτεις μὲν ταύτας, αὐτὸν δὲ ἀνακηρύττεις καὶ Θεὸν ὁμολογεῖς ἄντικρυς. »

* Fol. 221v 30. Πρὸς ταῦτα ἡ μάρτυς συνετῶς ἅμα καὶ πεπαιδευμένως καὶ τῆς *ἐκείνης μεγαλονοίας ἀξίως ἀπεκρίνατο· « Ἥκιστά μοι δοκεῖς, ὦ δικαστά, εἰπεῖν τὸ ἀληθὲς ἐθέλειν μαθεῖν ἢ παντελῶς ἀπηλλάχθαι τοῦ ψεύδους, ἀλλὰ τοῦ μὲν ὥσπερ τινὶ ἀμβλυωπίᾳ πονηρᾷ συνισχημένος τὸ φῶς οὐκ ἐθέλεις ἰδεῖν, τοῦ δὲ ἀσπάζῃ τὸ σκότος[1] καὶ μιγνύειν σπεύδεις τὰ ἄμικτα, ἐμὲ μὲν ἀναγκάζων καταλιπεῖν τὸν ἕνα Θεὸν ἀψύχοις δὲ καὶ ἀναισθήτοις κτίσμασι τὴν θεϊκὴν ἀπονεῖμαι τιμήν, σὲ δὲ πείθων ὅλως ἰσχύσειν ἡμᾶς μεταπείσειν· καίτοι γε ἔδει σε τῆς οἰκείας αἰσθέσθαι φύσεως, μᾶλλον δὲ τῆς κοινῆς, καὶ δι' αὐτῆς τὸν ταύτης ἐπιγνῶναι δημιουργόν, ὅτι διὰ ταύτην τὴν ὁρωμένην οὗτος ἐτεκτήνατο κτίσιν· καὶ γὰρ τῷ ὄντι ἐκ ταύτης ἐθαυμαστώθη ἡ τοῦ ὄντως Θεοῦ γνῶσις· σὺ δὲ τοσοῦτον ἀπέχεις τοῦ ἐπιγνῶναι τὸν ὄντα Θεόν, ὅτι καὶ ἡμᾶς ἀναγκάζεις τῇ σῇ συνθέσθαι μανίᾳ. Μαινομένων γὰρ οὐκ ἀπέοικας οὕτω τῆς ἀσεβείας ἀντιποιούμενος. »

31. Ἐνταῦθα ὁ μιαρὸς σφοδρότερον κινηθείς, πρὸς τὸ κολάζειν καὶ αὖθις ἐχώρει. Κελεύει[1] τοίνυν πρῶτον μὲν βουνεύροις ταύτης τὰς σάρκας καταξανθῆναι, ἔπειτα δὲ καὶ καλάμοις περιδεθεῖσαν καὶ εἰς τὸ ἄκρον τούτοις πιεσθεῖσαν — πονηρὰ δέ τις περσικὴ τοῦτο βάσανος — ἐπὶ τοσοῦτον ἐλθεῖν, ὡς καὶ τὴν ψυχὴν ἀποβαλεῖν. Ἀλλ' ἡ δύναμις τοῦ Χριστοῦ, ὑπὲρ οὗ καὶ ἀποθανεῖν εἵλετο, καὶ αὖθις ταύτην ἐνδυναμοῦσα ἀνωτέραν ἐφύλαττε τῆς τοιαύτης κολάσεως· ἐπεὶ δὲ ἱκανῶς ἐδόκει τῷ τυράννῳ[2] τὴν βάσανον ἔχειν, λύειν μὲν τῶν πιεζόντων καλάμων, μεταφέρειν δὲ καὶ αὖθις πρὸς τὴν φρουρὰν ὥσπερ τινὰ ἄψυχον φορτον βασταζομένην ἐκέλευε.

32. Ἀλλ' οὐκ ἠμέλει σου πάντως Θεός, ἀξιάγαστε μάρτυς, ἐφ' ὃν ἤλπισας καὶ οὗ τὸν ἔρωτα διηνεκῶς εἰς τὴν ψυχὴν ἔσχηκας· καὶ πῶς γὰρ ἔμελλε, φιλάνθρωπος ὢν καὶ τοὺς δοξάζοντας ἀντιδοξάζειν εἰδώς; παρῆν τοίνυν καὶ αὖθις ἀοράτως καὶ θεραπείας ὑπερφυοῦς ταύτην ἠξίωσε· διὸ καὶ ὅλη
* Fol. 222 τῆς θείας ἀπολαύσασα χάριτος *φαιδροτέρα καὶ ὡραιοτέρα κατέστη καὶ τὴν ἐκείνου ἐδόξαζεν ἀκαταμάχητον δύναμιν· « Εὐλογῶ σε, λέγουσα, καὶ δοξάζω τὸ ὄνομά σου, πολυύμνητε κύριε, ὅτι ἐξήγαγες ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου καὶ ἐρρύσω με ἐκ χειρὸς ἐχθρῶν μου τῶν τὴν σὴν δόξαν ἀθετούντων[1] καὶ τοῖς δαίμοσι ταύτην περιαπτόντων. Καὶ νῦν, φιλανθρωπότατε κύριε, καὶ ἔτι μου πρόστηθι καὶ εἰς τέλος ἐνίσχυσόν με καταβαλεῖν τὸν ἐχθρὸν καὶ τῆς σῆς ἀξιωθῆναι χαρᾶς. »

33. Οὕτως οὖν τῆς θείας μάρτυρος εὐχομένης καὶ τὸν ἁπάντων δοξαζούσης Θεόν, ἤδη τοῦ ἡλίου ἀνίσχοντος, ταύτην ἀποθανεῖν ὁ δικάζων[1]... ἔδοξε μὲν αὐτῷ ἔξω που τῆς πόλεως ῥῖψαι ταύτην βορὰν τοῖς κυσὶ καὶ πρὸς τοῦτο τοὺς δημίους προσέταττεν. Οἱ δὲ ἐλθόντες καὶ ὑγιῆ ταύτην εὑρόντες καὶ ὅλην φαιδρὰν καὶ τοῦ θείου προσώπου φῶς ἀπαστράπτουσαν, μετ' αἰδοῦς καὶ ἐκπλήξεως πρὸς τὸν δικάζοντα ἤγαγον. Ὁ δὲ ταύτην ἰδὼν καὶ ὡς εἰκὸς ἐκπλαγείς, τῷ οἰκείῳ βήματι καὶ αὖθις ταύτην παρίστησιν, οὐκ ὀλίγους καὶ τῶν μάγων συνέδρους ποιούμενος· καὶ γὰρ ὑπελάμβανε πρότερον ἐν τοῖς ζῶσι μὴ εἶναι· εἰ δὲ καὶ τοῦτο, ἀλλὰ μὴ μέντοι καὶ ὅλως δύνασθαι κινεῖσθαι, ἐδόκει γοῦν αὐτῷ παράδοξον τὸ πραχθὲν καὶ φυσικῆς ἀνώτερον πάσης δυνάμεως· καὶ ὅπως ἔχει, ἀκριβέστερον κατεμάνθανε καὶ

30. — 1. τοῦ σκότους F.
31. — 1. καὶ λεύει F. — 2. τυράνῳ F.
32. — 1. ἀθετούντω F.
33. — 1. *aliquid deest* F, *v. g.* ἐκέλευσε κ. τ. λ.

τοίνυν ἐν θαύματος λόγῳ ταύτην[2] ἐποιεῖτο· ἔπειτα δὲ καὶ τοὺς οἰκείους ὤμνυ θεοὺς ὡς ἐκείνους εἶναι τὸ αἴτιον τοῦ[3] παραδόξως οὕτω συμβαίνειν τῇ μάρτυρι θεραπείας ἀξιοῦσθαι, ὡς καὶ τῶν ὑγιαινόντων κρειττόνως ἔχειν ὁρᾶσθαι, ἤ, εἰ μὴ τοῦτο, γοητείαις τισὶ καὶ περιεργίαις πρὸς ὃ φαίνεται μεταβάλλεσθαι.

34. Πρὸς ἅπερ εἶπεν ἂν ὁ τῆς ἀληθείας πρὸς αὐτὸν λόγος· « Ψευδεῖς τὰς δόξας τοῦ σοῦ νοὸς ἡ ματαιότης κέκτηται, μάταιε. Τῆς γὰρ ἀληθοῦς δόξης ἡ πλάνη σε τοῦ ψεύδους μακράν που ἀπεσκοράκισεν· οὔτε γὰρ ἀναισθήτων στοιχείων τοῦτο οὔτε περιεργιῶν ἢ μαγγανειῶν, ἀλλὰ τοῦ ζῶντος Θεοῦ ἔργον τοῦ τὰ μὴ ὄντα ὡς ὄντα καλοῦντος καὶ ζωὴν τοῖς πᾶσι παρέχοντος. » Ἀλλ' ὁ μὲν τῆς ἀληθείας λόγος οὕτως. Ὁ δὲ πόθεν ἂν ἀλλαχόθεν, εἰ μὴ ἐκ τῶν ἀναισθήτων αὐτοῦ *θεῶν, ὅμοιος ἐκείνοις * Fol. 222v σχεδὸν ὤν, ὡρμήθη ἕτερ' ἄττα ἢ ἐννοῆσαι ἢ εἰπεῖν τῆς ἀληθείας ἐχόμενα, εἰ μὴ τὰ τῇ ἀναισθησίᾳ ἐκείνου προσήκοντα; Ὁ μὲν οὖν οὕτως ἐπὶ τοῖς δρωμένοις εἶχε καὶ οἱ συμπαρόντες αὐτῷ.

35. Ἡ δὲ μάρτυς οὕτως αὐτοὺς ἔχοντας καθορῶσα καὶ τὴν γλῶτταν κινήσασα, ἐκεῖνα πάντως ἐφθέγξατο, ἅπερ ὁ τὸν θεῖον ταύτης κινῶν νοῦν ἡ αὐτοσοφία Χριστὸς ἐδωρήσατο· αὐτὸς γὰρ ἐπηγγείλατο λόγον καὶ σοφίαν διδόναι, ἡνίκα πρὸς ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται οἱ τῆς πρὸς ἐκεῖνον πίστεως ἐχόμενοι, οἷς οὐ δυνήσονται ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι· ὃ δῆτα καὶ ἐπὶ τῆς ἁγίας γέγονε τηνικαῦτα.

36. « Ἐμοὶ μέν, ἔφησεν, ὦ δικαστά, ἔπεισι θαυμάζειν, ὅπως ἐκὼν τῆς ἀληθείας ἐκπίπτειν ἐθέλεις καὶ ἀπιστεῖν ἐπὶ τοῖς οὕτω καὶ τυφλῷ τὸ τοῦ λόγου δήλοις τυγχάνουσι, καὶ ταῦτα ἑαυτὸν σοφὸν οἰόμενος καὶ τῶν πολλῶν ἀμείνω τὴν γνῶσιν κεκτῆσθαι, ὡς καὶ τὴν τῶν μεταρσίων εἰδέναι φύσιν καὶ ἑτέρων δήπου πολλῶν ἀδήλων ὄντων, εἶτα ἐν μὲν τοῖς τοιούτοις οἴει εὐδοκιμεῖν, ἐν δὲ τοῖς ἀληθέσι καὶ φανεροῖς τὸν ἀγνοοῦντα ὑποκρίνῃ· ἢ οὐχ ὁρᾷς ἐν ἐμοὶ τὸν ἐμὸν ἐνεργοῦντα Χριστόν; ἀλλ' ἡλίῳ καὶ πυρὶ καὶ γοητείαις καθῆ περιάπτων τὴν ἐν ἐμοὶ φαινομένην θείαν ἰσχύν· ἄπαγε τῆς τοιαύτης ἐρεσχελίας· μὴ τοῦτο οἴου, τὸ τῷ ψεύδει περικαλύπτειν τὸ τῆς ἀληθείας φῶς· τὸ μὲν γὰρ σὸν ψεῦδος μακρὰν ἀπελήλαται, τὸ δὲ τῆς ἡμετέρας ἀληθείας φῶς τοῖς βουλομένοις πάρεστι καθορᾶν.

37. « Ποῦ γάρ σοι τῶν μαστίγων οἱ μώλωπες, ποῦ τῶν ῥαβδισμῶν αἱ πληγαί, ποῦ τῶν αἱμάτων οἱ ῥύακες, ποῦ τῶν ἄρθρων καὶ τῶν συνδέσμων καὶ τῶν ἰνῶν αἱ παραλύσεις καὶ συντριβαί; πάντα οἴχεται, πάντα ἠφάνισται, τῆς κρείττονος[1] δυνάμεως καὶ θείκῆς ἐπιλαμψάσης ἡμῖν· εἰ μὲν οὖν ἐθέλεις, πρόσιθι τῇ ἀληθείᾳ, τὸ τῆς πλάνης σκότος μακρὰν ἀποθέμενος· εἰ δ' οὖν, αὐτὸς μὲν τῶν οἰκείων ἔργων ἔχου, παρ' ὧν πάντως *τὰ ἔσχατα πείσῃ, ἀλλὰ μὴ ὀργίζου, ἡνίκα γυμνὸς καὶ τετραχηλισμένος * Fol. 223 ἐπὶ τοῦ φοβεροῦ τοῦ τῶν ὅλων Θεοῦ στήσῃ βήματος καὶ τοὺς λόγους ὑφέξεις οὐ μόνον[2] ὧν διεπράξω κακῶν ἀλλὰ καὶ ὧν εἰς τοὺς εὐσεβοῦντας εἰργάσω δεινῶν, καί σε τὸ μὴ σβεννύμενον αἰώνιον ἐκδέξεται πῦρ, ὡς μὴ ἐθελήσαντα ἐπιγνῶναι τὸν ὄντως Θεὸν καὶ ἀποστῆναι τοῦ φθαρτοῦ καὶ ἀναισθήτου πυρός. »

38. Τούτων ἀκούσας ὁ παράφρων ἐκεῖνος καὶ βδελυρὸς καὶ μὴ ἐνεγκὼν τὴν τῶν λόγων ἀλήθειαν, μᾶλλον δὲ τῶν πραγμάτων αὐτῶν, πρὸς τὸ κολάζειν καὶ αὖθις ἐχώρει τὴν μάρτυρα, ὥσπερ ἐπίτηδες τῆς οἰκείας μανίας ἀντιποιούμενος, κάλαμος ὥσπερ πρὸς πῦρ ἢ κατὰ πρανοῦς ὥσπερ ῥύαξ φερόμενος· ἀμέλει τοι καὶ μικροῦ καὶ αὐτοχειρὶ τιμωρεῖσθαι ἠπείγετο τὴν ἁγίαν· ὅμως μέντοι ἔκ τε τοῦ οἰκείου ἀξιώματος κωλυθείς, ταύτην καὶ αὖθις παραδίδωσι τοῖς δημίοις καὶ καινοτέραν προστάττει κόλασιν εἰς τιμωρίαν ταύτης εὑρεῖν.

39. Τί οὖν τὸ ἐντεῦθεν; οἱ πονηροὶ καὶ πρόχειροι πρὸς τὸ κολάζειν καὶ τοῖς σφετέροις[1] ἀμύνειν θεοῖς, φοβερὰν καὶ πικρὰν τὴν βάσανον ἐξευρίσκουσι· φακέλοις γὰρ χαλκοῖς ὅλον τὸ σῶμα περιλαβόντες συνθλάττουσι μὲν ἐντεῦθεν τῆς σαρκὸς τὴν διάπλασιν, συντρίβουσι δὲ τὰ ὀστᾶ καὶ ἰσχυρῶς ὅλου τοῦ σώματος τὴν ἁρμονίαν πιέζουσιν, ὡς μηδέ τι μέρος τούτου ὅλως τῆς βασάνου ἐκτὸς εὑρεθῆναι· οἶδ' ὅτι καὶ οἱ παρόντες ἐκεῖσε ἔπαθον ἂν τὰς ψυχὰς καὶ οὐδὲ τῶν νῦν[2] ἀκουόντων ἐκτὸς πάθους γένοιντ' ἂν[3] αἱ ψυχαί· ἀλλ' οὐχὶ καὶ ἡ μάρτυς, ὡς ἐγῷμαι, μᾶλλον δὲ καὶ τὸ τῆς ἀληθείας

2. ταύτης F. — 3. τὸ F.
37. — 1. κρείττων F. — 2. μόνως F.
39. — 1. φετέροις F. — 2. νοῦν F. — 3. γένοιτ' ἂν F.

παρίττητι φῶς, ἄγεννες[1] τι καὶ ἄνανδρον ἔπαθεν, ἀλλ' ἐρρωμένην[1] μὲν ἔφερε τὴν ψυχήν, εἰ καὶ τὸ σῶμα κατάκοπος ἦν, τὸν δὲ νοῦν ἀνῆγε πρὸς τὸν Θεόν· χεῖρας γὰρ ἐπαίρειν οὐκ ἦν οὐδ' ὀφθαλμοὺς ὑπὸ τοῦ σκαιοῦ πιεζομένη καὶ ὀλεθρίου ἐκείνου μηχανήματος· ἐπεκαλεῖτο δὲ τὸν Θεὸν ἀοράτως αὐτῆς
* Fol. 223v ἐπιλαβέσθαι καὶ κουφίσαι * τῶν ὀδυνῶν καὶ τῆς τοιαύτης ἀνωτέραν δεῖξαι βασάνου καὶ θαυμαστὸν ἐντεῦθεν φανῆναι καὶ Θεὸν ἀληθῆ κηρυχθῆναι καί τινας πρὸς τὸ τῆς ἀληθείας βλέψαι φῶς· ὃ δῆτα κατ' εὐχὴν ἀπηντήκει τῇ μάρτυρι.

40. Λύεται μὲν γὰρ αἴφνης — τῆς θαυμαστῆς σου, Χριστέ, δυνάμεως — δεσμοῦ τοῦ πιέζοντος· ἀνίσταται δὲ καὶ τοῖς πᾶσιν ὑγιὴς καὶ φαιδρὰ καθορᾶται· ἐντεῦθεν ηὐχαρίστει τῷ σεσωκότι Θεῷ· « Εὐχαριστῶ σοι, λέγουσα, ποιητὰ τῶν ὅλων καὶ δημιουργέ, ὅτι καὶ αὖθις ἐκ θανάτου ἐρρύσω μου τὴν ψυχήν, καὶ τὴν θαυμαστήν σου ἔδειξω δυναστείαν ἐν ἐμοί. » Καὶ ἔτι « Ἀγαθότατε, εἰς τέλος ἀντιλαβοῦ καὶ ἐνίσχυσον τὸν τῆς ἐμῆς ἀθλήσεως τελειῶσαι δρόμον καὶ πρὸς σὲ καταπαῦσαι τὴν ἀληθινὴν ζωὴν καὶ ἐπέραστον. » Οὕτω τῆς μάρτυρος εὐχομένης καὶ τὸν τῶν ὅλων ὑμνούσης καὶ δυσωπούσης Θεόν, συναρπάζεται τοῖς δημίοις καὶ πρὸς τὸ τῆς ἀσεβείας ἀνδράποδον τὸν πονηρὸν καὶ αὖθις φημι δικαστὴν ἄγεται.

41. Καὶ δὲ ταύτην ἰδών, τοῦ ὁρωμένου μόνον ἐγένετο, καίτοι γε καὶ πρὸς τὸ νοούμενον ἔδει διαβλέψαι καὶ ἐπιγνῶναι ὥσπερ τὴν φύσιν τοῦ σώματος ὑγιαίνουσαν, οὕτω καὶ τὴν θείαν ἐνέργειαν, ἥτις ἀοράτως καὶ τὸ θαῦμα ἐνήργησε, καὶ ἀποθέσθαι μὲν τὸ δυσσεβὲς φρόνημα, ἑλέσθαι δὲ τὸ σεβασθῆναι τὸν ὄντα Θεόν· ὁ δὲ πολλοῦ γε καὶ δεῖ, μάταιος ὢν καὶ ταῖς ματαιότησι συνισχημένος τοῦ ψεύδους, ὅθεν καὶ μᾶλλον ἐπὶ πλέον ἐγίνετο τῆς κακίας ἤπερ τῆς ἀληθείας· διὸ καὶ πῇ μὲν ὑπὸ τῆς ἀληθείας ἐλεγχόμενος ἐπειρᾶτο καὶ ἄκων ταύτην ὁμολογεῖν, πῇ δὲ ὑπὸ τῆς ἀνοίας κρατούμενος καθῆστο ἀμηχανῶν.

42. Εἶτ' αὖθις ἀναλαμβάνων ἑαυτὸν « Εἰπέ μοι », ἔλεγε πρὸς τὴν μάρτυρα, « πῶς ταῦτα ποιεῖς, ὦ γύναι; καὶ αἴφνης τῶν πληγῶν μεταβάλλῃ καὶ ῥᾳδίως οὕτως ὑγιαίνουσα φαίνῃ καὶ πάντας ἐκπλήττεις, ναὶ δὴ μὰ τοὺς θεοὺς καὶ ἐμὲ δήπου τὸν ἔμφρονα νοῦν ἔχοντα, ὡς μικροῦ με μηδὲ δύνασθαι
* Fol. 224 ἐσκέφθαι, πῶς σοι συμβαίνει τὸ μετεστράφθαι οὕτω ῥᾳδίως ἀπὸ τῶν χειρόνων * πρὸς τὰ βελτίω· εἰ οὖν θελήσεις τὸ ἀληθὲς ἡμῖν ἐξειπεῖν καὶ ἀφελέσθαι τῶν ἡμετέρων ψυχῶν τὸ περὶ αὐτὸ ἐσφάλθαι, χάρις ἔσται σοι παρ' ἡμῖν, μᾶλλον δὲ παρά τε βασιλεῖ καὶ αὐτοῖς δήπου τοῖς θεοῖς· εἰ δ' οὖν, ἐπεὶ οὐ δυνατόν μοι, ὥς γε ὁρῶ ἐξ ὧν ἐργάζῃ, μήτε μὴν πεῖσαί σε μεταβαλέσθαι μήτε μὴν ἐξαρκεῖν με κολάσεις ἐπινοεῖν, τῇ τελευταίᾳ τιμωρίᾳ τῷ θανάτῳ σε παραδώσω· τυχὸν γὰρ ἂν οὕτως ἡμῖν συμβαίη ἀπηλλάχθαι σου τῶν τε ἐπινοιῶν καὶ μαγγανειῶν· καίτοι γε δέδοικα καὶ οὕτω μοι περιεργείαις τισὶ χρησαμένη, ζῶσα καὶ αὖθις ὀφθήσῃ καὶ τοὺς πλείους ἐντεῦθεν ἐξαπατήσεις ».

43. Οὕτω μὲν οὖν ὁ κατάρατος ἀστρολόγος ἐκεῖνος, τοῖς οἰκείοις διενεργούμενος δαίμοσι, φλυαρός τις εἶναι ἐξ ὧν ἔλεγεν ἐγνωρίζετο, ἐπείπερ πολλάκις οὐ μόνον ἑωράκει ἀλλὰ καὶ ἠκηκόει τῆς μάρτυρος περὶ τῶν τοιούτων ποιουμένης τὴν ἀπολογίαν, ὥστε οὔτε μαθεῖν οὔτε ἐπιγνῶναι ἕνεκά γε τὸ ἀληθὲς προυβάλετο τὴν ἐρώτησιν, ἀλλ' ἐπαπορῶν ἐφ' οἷς οὐκ ἠδύνατο ἐπιτυχεῖν, ὥσπερ ἐν κύκλοις τισὶν ἑαυτὸν συστρέφων, τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν διηρώτα.

44. Ἡ δέ γε καλλιπάρθενος μάρτυς· « Τί πλειστάκις περὶ τῶν αὐτῶν ἐρωτᾷς, ἀσυνείδητος ὢν καὶ μὴ θέλων τὸ ἀληθὲς συνιδεῖν; οὔτε γὰρ διὰ τὸ μαθεῖν προβάλλῃ τὸ ἀγνοεῖν οὔτε διὰ τὸ ἐπιγνῶναι τὸ ἀληθὲς ἐρωτᾷς, ἀλλ' ὥσπερ ἐθέλεις λαβὰς λαμβάνειν πρὸς τὸ τιμωρεῖσθαι ἡμᾶς καὶ τὴν οἰκείαν ἀσέβειαν συνιστᾶν, ἐπεὶ πολλάκις ἔγνως τὴν τοῦ ἐμοῦ Χριστοῦ δύναμιν, ἐφ' οἷς σὺ μὲν ὠμῶς καὶ ἀπανθρώπως ἡμᾶς ἐτιμωρήσω, ἐκεῖνος δὲ εὐεργετῶν οὐ διέλιπεν, ὡς καὶ πᾶσαν πρόφασιν τῆς σῆς κακομηχάνου ψυχῆς ἀφαιρεῖσθαι· ἢ τίνα γὰρ λόγον ἔχειν δοκεῖς ἐμὲ ὑπολαμβάνειν, ἐν δεσμοῖς οὖσαν καὶ τὰ ἀνήκεστα πάσχουσαν, μαγγανείαις ἢ περιεργίαις ἀποτίθεσθαι μὲν τοῦ σώματος τὰς πληγάς, ἐπενδύεσθαι δὲ τὸ ὑγιαίνειν ἐξαίφνης καὶ κρείττω φαίνεσθαι ἤπερ καὶ πρότερον; ποίει τοίνυν ὃ βούλει, ἐπεί γε, ὡς
* Fol. 224v ὁρῶ, ἑκὼν τυφλώττων τυγχάνεις· ἐπεὶ τίνα εὐεργεσίαν αὐτὸς * πρὸς τῶν σῶν λαμβάνεις θεῶν, ὥσπερ ἄρα ἐμὲ ὁρᾷς πρὸς τοῦ ἐμοῦ εὐεργετουμένην Χριστοῦ; τάχα γάρ, ἂν ἐγνωρίσαμέν[1] σε εὐεργε-

4. ἄγενες F. — 5. ἐρωμένην F.
44. — 1. ἐγνωρίσαι μὲν F.

τούμενον παρ' αὐτῶν, εἴποιμεν ἄν, ὅτι εἰκότως τῆς ἐκείνων ὑπεραγωνίζῃ δόξης· πρόσελθε τοίνυν τῷ σῷ θεῷ καὶ ἔκτεινόν σου τὴν δεξιὰν καὶ πάντως οἶμαί γε λήψῃ, εἰ μή τί γε ἄλλο, τὴν αὐτῆς ἀπώλειαν· εἰ δέ γε καὶ σεαυτὸν ἐμβαλεῖν βουληθείης, ταχὺ πάντως τροφὴ ἐκείνῳ γενήσῃ καὶ τὴν[2] ἀμοιβὴν πάντως ἕξεις ἀξίαν τοῦ σοῦ θεοῦ. Πῶς οὖν τῷ τοιούτῳ φθαρτικῷ πυρὶ ὅσα καὶ θεῷ προσανέχεις, καὶ ταῦτα ἐν καλῷ σοι διϊσχυρίζῃ ἑστάναι τὴν γνῶσιν; ἐμοὶ γάρ, ὡς πολλάκις εἰρήκειν, τὰ πάντα Χριστός ἐστιν ὁ τοῦ Θεοῦ υἱὸς καὶ Θεός, καὶ οὐκ ἄν ποτε τὸν ἐμὸν ἀρνηθείην δεσπότην καὶ κύριον, κἂν δέῃ εἰ οἷόν τε μυρίους θανάτους ὑπὲρ τῆς δόξης ἐκείνου ἀποθανεῖν. »

45. Ὑπολαβὼν δὲ ὁ δικαστής· « Ὁρᾷς », ἔφη, « ὦ γύναι », ἐν πολλῷ θυμῷ, « ὁρᾷς, ὅπως ἡμᾶς ἐρεθίζεις τῷ θανάτῳ σε τάχιον παραπέμψαι· καὶ γὰρ παρ' ἡμῶν ἡμέρως ἐρωτωμένη, θρασεῖς αὐτὴ τοὺς λόγους ποιῇ. » « Οὐ θρασεῖς », ἔφη, « δικαστά », ἡ μάρτυς, « ἀλλ' ἀληθεῖς, εἰ καὶ αὐτὸς διαβάλλειν ἐθέλεις[1] ἡμᾶς. » « Πῶς οὖν, φησί, διαβάλλω, γύναι; αὐτὴ μὲν γὰρ τὴν οἰκείαν ἀγωνίζῃ συνιστᾶν δόξαν καὶ ὅλη ὑπὲρ ταύτης γίνῃ, τὰ δὲ ἡμέτερα ἐξουθενεῖς καὶ τῷ τοῦ σοῦ Θεοῦ διϊσχυρίζῃ κολασθησομένους πυρί, καὶ ταῦτα οὐκ ἐνταῦθα, ἀλλ' ὥσπερ ὀνειρώττουσα ἕτερόν τινα μέλλοντα αἰῶνα, ἄδηλόν τε καὶ ἀφανῆ, συνιστῶσα· κἀκεῖσε ἡμᾶς κολασθῆναι δεδίττῃ· εἰ μὲν οὖν τὸν βαθὺν ὕπνον τῆς ἀνοίας ἀποτιναξαμένη καὶ τῆς τοιαύτης ὀνειρώξεως ἐκτὸς γινομένη, προσελθοῦσα τοῖς θεοῖς θύσεις, εὖ ἂν ἕξεις πρὸς πάντα· εἰ δ' οὖν, ὡς καὶ πολλάκις εἰρήκειν, τῇ ἐσχάτῃ τιμωρίᾳ παραπέμψω, καὶ τότ' ἂν τυχὸν ἡμᾶς ἔτι μαθήσῃ ἀπειλεῖν καὶ κολάζειν. »

46. « Ὅτι μὲν οὖν », ἡ μάρτυς ἔφη πρὸς τὸν δικάζοντα, « εἰ μὴ τῆς πλάνης ἀπαλλαγῆναι θελήσειας καὶ τῆς σῆς διανοίας τοὺς σοὺς θεοὺς ἀποπτύσειας *καὶ τῷ μόνῳ ζῶντι προσελθεῖν Θεῷ, τῷ ἐμῷ δηλαδὴ Χριστῷ, εὐδοκήσειας, τὰ ἔσχατα πείσῃ καὶ δίκην δώσεις ἐν τῷ τῆς γεέννης πυρί, δῆλον ἐκεῖθεν· ἀφ' ὧν[1] καὶ γὰρ ἔγνως εἰς ἐμὲ θαυμασίων τῷ ἐμῷ τελεσθέντων Θεῷ, τὸν ἐμὸν συνίστημι λόγον. Ὁ γὰρ οὕτως εὐεργετῶν κἀντεῦθεν ἑαυτὸν τῶν ὅλων δημιουργὸν παριστῶν, εὔδηλον δήπου ὅτι καὶ κολάζειν δύναται, κἂν ἐν τῷ παρόντι μακροθυμῶν φαίνηται, ἀγαθὸς ὢν καὶ πάντας ἐθέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὥσπερ ἄρα καὶ σέ, εἰ βουληθείης ἐπιγνῶναι τὸ ἀληθές· ἢ τί ἂν ἀπείρξῃ τὸν πάντα δυνάμενον, δεηθείσης ἐμοῦ, χάναι σοι τὴν γῆν; καὶ πρὸς τὰ κατώτατά σε ταύτης διαβιβάσειεν, ὥσπερ ἄρα καὶ τὸν Δαθὰν καὶ Ἀβειρῶν παθεῖν ἐγνώκαμεν παρ' αὐτοῦ· τὸ δέ γέ με ἀποθανεῖν, κἂν μὴ αὐτὸς ἐπενέγκῃς, ἀλλ' ἡ φύσις πάντως ἐποίσει μοι, τοὺς οἰκείους νόμους φυλάττουσα, ὥστε, κἂν αὐτὸς κἂν ἐκείνη τοῦτο ποιήσητε, τὸ ἐμοὶ ποθεινὸν πληρωθῆναι συμβήσεται· τοῦ γὰρ σώματος χωρισθεῖσα γενήσεται πάντως πρὸς τὴν ὄντως ζωὴν ἐπανελθεῖν καὶ τῷ Θεῷ μου ἐντεῦθεν πάντως συνέσομαι καὶ τῆς παρ' ἐκείνου εἰς τὸ διηνεκὲς ἀπολαύσομαι[2] χαρᾶς. » * Fol. 225

47. Οὕτω μὲν οὖν ἡ καλλιπάρθενος μάρτυς μετὰ παρρησίας ἀκριβοῦς καὶ γνώμης εὐσεβοῦς τὴν οἰκείαν ὁμολογίαν ἔμπροσθεν πάντων διαβεβαιωσαμένη ὥσπερ τις εἱστήκει ὀλυμπιονίκης, τὸν τῆς δικαιοσύνης στέφανον ἐκδεχομένη παρὰ τοῦ δικαίου κριτοῦ, τὸν ὑπὲρ ἐκείνου θάνατον ὑπομένουσα. Ἡ δέ γε φαύλη ψυχή, ὁ ἐναγὴς δικαστής, ὅσα καὶ βέλη εἰς τὴν ἀσύνετον καρδίαν τοὺς λόγους δεξάμενος ἐξωγκοῦτο μὲν τῇ τῆς ἀλαζονείας ἐπάρσει, ἐξεκαίετο δὲ τῷ θυμῷ καὶ πῦρ ἀποπάλλειν ἐδόκει τῶν ὀφθαλμῶν καὶ πρὸς τοὺς συνόντας συνεχῶς ἐπιστρεφόμενος ἔλεγεν· « Ὁρᾶτε, ὦ παρόντες, τοῦ γυναίου τούτου τὸ ἀναιδές· ὁρᾶτε, ὁπόσης μὲν τυγχάνει τῆς ἡμερότητος παρ' ἡμῶν, ὁπόσας δὲ ἡμῶν καταχέει τὰς λοιδορίας *καὶ ἀντιρρητορεύειν πειρᾶται καὶ διδάσκειν καὶ μεταφέρειν πρὸς τὴν οἰκείαν θρησκείαν· τούτων δὲ πάντων οὐκ ἄλλος ἀλλ' αὐτὸς ἐγώ εἰμι αἴτιος· φιλανθρωπίᾳ γὰρ χρώμενος καὶ δι' ἡμερότητος καὶ συμπαθείας ἐθέλων τοῦ γραϊδίου τούτου περιγενέσθαι, ἐμπαίζομαί τε παρ' αὐτοῦ καὶ καταγελῶμαι· ἀλλ' οὐ μὰ τὴν ἔφορον δίκην τῶν σφετέρων θεῶν τὴν ἐμὴν ἐκφύγῃς, γύναιον, ἐσχάτην ἀπόφασιν, ἀλλὰ τὸ ξίφος σοι πάντως ἐπιστομίσει τὴν γλῶτταν· καὶ τότε γνώσει σαφῶς τὸν τῆς σῆς παραφροσύνης καρπόν. » * Fol. 225v

48. « Εὐξαίμην ἄν », ἡ μάρτυς ἔφη, « τοῦτό μοι τάχιον γενέσθαι καὶ πρὸς τὸν οἰκεῖον ἐπανελθεῖν με δεσπότην. » « Γενήσεταί σοι », φησὶν ὁ κάκιστος δικαστής. Καὶ τοῦτ' εἰπὼν τοῖς δημίοις κελεύει

2. τὸν F.
45. — 1. ἐθέλειν F.
46. — 1. ἀφ' ὧ F. — 2. ἀπολαῦσαι F.

λέγων· « Λάβετε ταύτην τῶν ἐμῶν μακρὰν ὀφθαλμῶν· οὐ γὰρ ὅλως ἀνέχομαι τοιαύτην οὖσαν ὁρᾶν· καὶ τῷ ξίφει τὴν ταύτης ἀφέλεσθε κεφαλήν, ἵν' οὕτω τὴν ἐσχάτην σιωπὴν σιωπήσασα οὐκ ἂν δυνηθείη κατὰ θεῶν καὶ βασιλέως καὶ ἡμῶν πολλὰ βλασφήμως φθέγγεσθαι. » Ταῦθ' ὁ μιαρὸς ἐκεῖνος καὶ φονικὸς κελεύσας καὶ ἀναστὰς ᾤχετο κατησχυμμένος[1] καὶ ἡττημένος, ἐσχάτην ὀφλήσας αἰσχύνην, μὴ δυνηθεὶς περιγενέσθαι γηραιᾶς γυναικὸς καὶ πρὸς τὸ ἴδιον ἐπαγαγέσθαι βούλημά τε καὶ σέβασμα.

49. Ἡ δὲ καλλιπάρθενος μάρτυς πρότερον μὲν τοὺς δημίους αἰτησαμένη δοῦναι καιρὸν πρὸς τὸ δεηθῆναι τοῦ ὄντως Θεοῦ καὶ λαβομένη ηὔξατο ἵλεων γενόμενον, τὸ ταύτης δεξάμενον αἷμα, ἀνωτέραν μὲν γενέσθαι ποιῆσαι[1] τῶν ἀρχῶν τε καὶ ἐξουσιῶν τοῦ σκότους καὶ τῆς αὐτοῦ δόξης τυχεῖν ἀξιῶσαι[2], ἔπειτα δὲ καὶ τοῖς τηνικαῦτα πειραζομένοις χριστιανοῖς ἄνεσιν παρασχεῖν καὶ πάσης αὐτοὺς ἐξελέσθαι δυσχερείας τε καὶ κακώσεως, οὐ μὴν δὲ ἀλλὰ καὶ τοῖς ἐν ὅλῳ τῷ κόσμῳ οὖσι καὶ αὐτὸν προσκυνοῦσι καὶ μόνον Θεὸν γινώσκουσι καὶ λατρεύουσι· καὶ οὕτω μετὰ τὴν εὐχὴν ἐπὶ τοῖς παρελθοῦσιν ἀγῶσι τὴν τελευταίαν δεξαμένη πληγήν, τὸν τῆς ἀθλήσεως ἀνεδήσατο στέφανον. Καὶ οὕτω χερσὶν
* Fol. 226 ἀγγέλων τὸ ταύτης θεῖον πνεῦμα πρὸς τὸν * πατέρα τῶν φώτων ἀνηνέχθη Θεόν, χοροῖς ἀγγέλων τε καὶ ἀρχαγγέλων καὶ τῶν λοιπῶν δυνάμεων συνεσόμενον, καὶ τοῦ ἀκροτάτου ἀπολαύει[3] τῶν ἐφετῶν.

50. Τὸ δέ γε θεῖον καὶ πολύαθλον ταύτης σῶμα μετά γε τὴν ἐκτομὴν τῆς τιμίας κεφαλῆς χριστιανοί τινες ἀνελόμενοι κἀκείνην αὖθις αὐτῷ συναρμόσαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεσαν· ὑπερφυῆ δέ τινα καὶ θαύματος ἄξια ἐκτμηθείσης τῆς ἱερᾶς παρηκολούθησε κεφαλῆς· τὸ καταρρεῦσαν θεῖον αἷμα ἐκ τῆς πληγῆς ἤρδευσε μὲν τὴν γῆν καὶ ὥσπερ σπόγγον διέθηκε· τοὺς δέ γε παρόντας καὶ ὁρῶντας τρόμος εἷλε καὶ συνεκλόνησεν· οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ ἀὴρ εὐωδίας ἐπληρώθη ξένης καὶ θαυμαστῆς. Ὁ δέ γε ἥλιος ἄνωθεν ὥσπερ ἐπιστυγνάσας τῇ μαρτυρικῇ καὶ θείᾳ σφαγῇ ἐφ' ἱκαναῖς ταῖς ὥραις τὰς ἰδίας ἀκτῖνας ἀπέκρυψε καὶ ἔτι γε μὴν ἐπαύξων τὴν στυγνότητα ζόφον περιεβάλετο. Οὕτως οἶδε δοξάζειν Θεὸς τοὺς αὐτὸν δοξάζειν προῃρημένους.

51. Ἡ μὲν οὖν καλλίνικος μάρτυς Ἴα οὕτω ξένως καὶ ὑπερφυῶς βιώσασα, ὥσπερ ὁ λόγος ὑπέγραψε, καὶ οὕτω τὸν τῆς ἀθλήσεως δρόμον τελέσασα καὶ τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐντεῦθεν ἐχθροὺς καταισχύνασα καὶ μετὰ τελευτὴν πολλοῖς τοῖς τῶν ἰαμάτων χαρίσμασι δοξασθεῖσα πρὸς τοῦ Θεοῦ, οὕτω πρὸς ἣν ἐπόθει ἐπανῆλθε ζωήν. Μεθ' ὕστερον δὲ παρά του τῶν εὐσεβῶν βασιλέων, ἡνίκα ἡ πυρκαϊὰ μὲν ἐσβέσθη τῆς ἀσεβείας τῇ δυνάμει Χριστοῦ, τὸ τῆς εὐσεβείας δὲ ηὔγασε φῶς, πρὸς τὴν ὀλβιωτάτην ἀνεκομίσθη Κωνσταντινούπολιν τὸ ταύτης πολύαθλον λείψανον· καὶ ναὸς αὐτῷ ἱδρύνθη περικαλλὴς καὶ ἐν αὐτῷ κατετέθη, πολλὰς τῶν ἰαμάτων τοῖς αὐτῷ προσερχομένοις πιστῶς χάριτας ἀναβλύζον.

52. Ἐπεὶ δὲ κρίμασιν οἷς οἶδε Θεὸς ἡ πόλις ἑάλω τοῖς Ἰταλοῖς, Ἀλεξίου μέν, οὗ ἐπώνυμος Ἄγγελος, τηνικαῦτα τῆς τῶν Ῥωμαίων ἐπειλημμένου ἀρχῆς, τὸν ἴδιον δὲ ἀδελφὸν Ἰσαάκιον ταύτης ἐξοστρακίσαντος, ἅπαν μὲν τὸ κάλλος ἀπέσβη τῆς πόλεως, ὅσον ἐν οἴκοις λαμπροῖς, ὅσον ἐν οἴκοις ἱεροῖς, ὅσον ἐν εὐαγέσι σεμνείοις· σὺν τούτοις πᾶσι καὶ τὸ ἱερὸν τέμενος τῆς μάρτυρος Ἴας διαφθαρέν,
* Fol. 226v ἐπὶ τῇ τῶν Μαγγάνων μονῇ τὸ θεῖον ταύτης λείψανον μετετέθη, * ἡνίκα καὶ αὖθις Θεὸς τοῖς Ῥωμαίοις τὴν πόλιν ἀπέδωκεν, ὅσα καὶ σπαράκτας κόρακας ταύτης ἐκδιώξας τοὺς Ἰταλούς, τῆς αὐτοκρατορικῆς ἀρχῆς τοῦ Παλαιολόγου Μιχαὴλ κατέχοντος τὰς ἡνίας. Τούτου δὲ τῆς βασιλείας διάδοχος, ὁμμενοῦν τῆς γνώμης καὶ τῆς περὶ τὸ θεῖον σέβας δόξης, γέγονεν υἱὸς ὁ μεγακλεὴς καὶ μέγας Ἀνδρόνικος, τὸ τῆς εὐσεβείας ὡραιότατον στήριγμα, τὸ τῆς ἐκκλησίας ἀσφαλέστατον καὶ περικαλλὲς ἑδραίωμα, τὸ πάσης ἀρετῆς καὶ καλοκἀγαθίας περίδοξον ἄκουσμα.

53. Τηνικαῦτα τοίνυν καὶ ὁ παρὼν τῇ θείᾳ μάρτυρι λόγος ἐγράφη, τοῦ γράψαντος ἐν τῇ τῶν Μαγγάνων περικαλλεῖ εὑρισκομένου μονῇ, ἐπειδὴ τὸ τοῦ χρόνου μῆκος τὰ μὲν ὑπομνήματα, ὅσα ἐγράφη τῇ μάρτυρι, ἴσχυσε διαφθεῖραι, τὸ δὲ ταύτης θεῖον λείψανον οὐκ ἠδυνήθη λυμήνασθαι, καὶ ταῦτ' ἐννακοσίων ἡλιακῶν κύκλων περιδραμόντων, οὕτω τοῦ Θεοῦ τὴν καλλίνικον μάρτυρα καὶ πρὸ τῶν τῆς ἀθλήσεως ἀγώνων κἀν τοῖς ἀγῶσι καὶ μετὰ τούτους δοξάσαντος, δεικνύντος οἶμαι, οἵας ἔτυχε παρ' αὐτοῦ δόξης ἡ θεία ταύτης ψυχή· εἰ γὰρ ὁ πήλινος χοῦς οὕτω καὶ ἐπὶ τοσοῦτον ἐδοξάσθη, ὡς ἐπὶ τοσούτοις χρόνοις μονονοὺ καὶ ἔμψυχος εἶναι δοκεῖν, — ὅς γε κἀμὲ πολλάκις ἐξέπληξεν, ὡς ζῶντα

48. — 1. κατησχυμένος F.

49. — 1. ποιήσοι F. — 2. ἀξιώσει F. — 3. ἀπολαύειν F.

τοῦτον θεασάμενον, ἀσινεῖς τοὺς ὄνυχας ἔχοντα — καὶ πολλαῖς ταῖς χάρισιν ἐλλαμπρύνεσθαι, πόσης εἰκὸς ἐννοεῖν χρὴ τὴν ἱερὰν ψυχὴν τῆς δόξης ἀπολαύειν παρὰ Θεοῦ; ἐγὼ μὲν οἶμαι, οὐκ ἀγγελικῆς οὐδ' ἀρχαγγελικῆς μόνον, ἀλλὰ καὶ χερουβικῆς καὶ τῶν ὑψηλοτέρων ταγμάτων, ὡς καὶ ἐκ δεξιῶν ἑστάναι οἷα παρθένος καὶ μάρτυς τοῦ ταύτης νυμφίου Χριστοῦ.

54. Ταύτης τοίνυν ἡμεῖς, ὅσοι ἐν μεθέξει βουλόμεθα τῆς δόξης γενέσθαι Θεοῦ, τὴν ἀρετὴν μιμώμεθα καὶ τὴν ἄθλησιν· καὶ γὰρ καὶ νῦν πάρεστιν ὁ διώκτης καὶ ἐχθρὸς τῶν ἡμετέρων ψυχῶν, ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, ὁ ἀοράτως διηνεκῶς ἡμῖν ἐπάγων τὸν πόλεμον· εἰ γοῦν ἐθελήσαιμεν νικηταὶ τοῦ πονηροῦ φανῆναι, τὸ ἐμποδὼν * ἔσται οὐδέν· καὶ γὰρ πρῶτον μὲν τὴν τοῦ Θεοῦ κεκτήμεθα * Fol. 227 χάριν, βοηθοῦσαν ἡμῖν καὶ πρὸς τὴν ἐκείνου συμπλοκὴν ὑπαλείφουσαν καὶ τῇ πίστει καὶ ἐλπίδι ῥωννύουσαν, ἔπειτα δὲ καὶ τὴν θείαν μάρτυρα [1] ἡμῖν συνεργοῦσαν καὶ τὸν κοινὸν ὑπὲρ ἡμῶν δυσωποῦσαν δεσπότην· ἀλλ' ὧδε τοῦ λόγου γενόμενον καὶ πρὸς τὸν τῆς σιωπῆς λιμένα τὸ τοῦ λόγου ἱστίον χαλάσαι βουλόμενον, ὀλίγ' ἄττα δεῖ με πρὸς τὴν ὁσιομάρτυρα φθέγξασθαι.

55. Ὦ σεβασμιωτάτη καλλιπάρθενε μάρτυς· δεῖ γάρ με ὡς παροῦσάν σε προσφωνῆσαι· καὶ γὰρ ἀοράτως ἡμῖν ὡς πιστεύομεν πάρει· ὦ σεμνῶν παρθένων ἀγλάϊσμα, ὦ μαρτύρων ἐνθέων ὡραΐσμα, ὦ ἀσκητῶν ἐντρύφημα χαριέστατον, ὦ νοερᾶς πάσης τε καὶ θείας φύσεως ἰσοστάσιε, δέδεξο τὸν παρόντα λόγον, ὅν σοι [1] ὥσπερ τι δῶρον προσφέρομεν, τῆς ἀσκητικῆς σου καὶ μαρτυρικῆς διὰ Χριστὸν ἀθλήσεως τὰ παλαίσματά τε καὶ ἀγωνίσματα ὡς ἐνὸν ἱστορήσαντες, καὶ ἵλεων ἡμῖν δυσώπει γενέσθαι ὃν τοῖς ἰδίοις ἀγῶσι καὶ καμάτοις ἐθεράπευσας φιλανθρωπότατον κύριον, νῦν τε καὶ εἰς τὸν αἰῶνα τὸν μέλλοντα, ἵνα καὶ πάντες ὁμοθυμαδὸν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχοιμεν τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

54. — 1. μάρτυραν F.
55. — 1. ὅσοι F.

IX

ΜΑΡΤΥΡΙΟΝ [1] ΤΟΥ ΑΓΙΟΥ ΒΑΔΗΜΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ.

1. * Ἐν τῷ καιρῷ τῆς τελειώσεως τῶν τεσσαράκοντα ἁγίων μαρτύρων, συνελήφθη ὁ *V.Fol.191 ἅγιος Βάδημος ὁ ἀρχιμανδρίτης σὺν μαθηταῖς αὐτοῦ τισιν ἑπτὰ καὶ κατεκλείσθη ἐν φυλακῇ κατὰ κέλευσιν τοῦ βασιλέως Σαβωρίου. Ὡρμᾶτο δὲ οὗτος ὁ ἅγιος Βάδημος ἀπὸ πόλεως Βηθλαπάτ, γένους πλουσίου σφόδρα ὑπάρχων· ἀξιωθεὶς δὲ τῆς πολιτείας τῶν μοναχῶν, πάντα τὰ ὑπάρχοντα αὐτῷ διένειμεν πτωχοῖς καὶ οἰκοδομήσας μοναστήριον ἔξω τῆς

1. — 1. *praeit* μηνὶ τῷ αὐτῷ η' (*scil. april.* 8) V.

PASSIO SANCTI BADEMI ARCHIMANDRITAE.

1. * Quo tempore quadraginta illi sancti martyres interfecti sunt, com- * Fol. 191 prehensus fuit Bademus, sanctus archimandrita, una cum septem quibusdam suis discipulis, et regis Saporis iussu in carcere conclusus. Bademus autem ille ortum ducebat ab urbe Bethlapat, ex familia admodum divite. Cum vero monachorum institutionem sequi coepisset, omnia sua pauperibus distribuit.

πόλεως ἐκαθέζετο ἐκεῖσε ἐν αὐτῷ, ἐν ἅπασι σπουδάζων εὐαρεστεῖν τῷ Θεῷ καὶ τὸ θέλημα αὐτοῦ πληροῦν[2]· ἦν γὰρ πλήρης χάριτος καὶ ἀληθείας ὑπάρχων ὁ ἀνὴρ καὶ σκεῦος ἐκλογῆς ἐτύγχανεν τοῦ Θεοῦ.

2. Οὗτος οὖν ὁ ἅγιος ἐν τῇ φρονήσει αὐτοῦ τῇ θείᾳ καὶ τελείᾳ ἀνῆλθεν εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ κατεσκήνωσεν ἐν τόπῳ ἁγίῳ αὐτοῦ καὶ εὐλογίαν ἐδέξατο παρὰ Θεοῦ * Fol. 191r σωτῆρος αὐτοῦ καὶ ἐθεάσατο τὸ πρόσωπον * τοῦ Θεοῦ Ἰακώβ. Οὗτός ἐστιν ὁ καταλειφθεὶς μικρὸν ἄζυμον ἐν τοῖς καιροῖς ἡμῶν ἀπὸ τῆς τελείας ἐκείνης ζύμης τῶν ἐν ἀρχῇ τελειωθέντων ἁγίων μαρτύρων· ἐστερεώθη δὲ διὰ τοῦ αἵματος τῆς σφαγῆς αὐτοῦ τοῦ ἁγίου ἡ χαυνότης τοῦ καιροῦ ἡμῶν. Οὗτός ἐστιν ὁ ὄντως λίθος πιστός, ὁ λατομηθεὶς ἀπὸ τοῦ ὄρους τῶν ἀρχῆθεν πιστῶν· ἡρπάγη γὰρ ἐπὶ τὸ μυστήριον, ἵνα γένηται πᾶσιν ἡμῖν σωτηρίας ὁδός. Τοιαύτην γὰρ γενναίαν τὴν προαίρεσιν αὐτοῦ περὶ τὸ μαρτύριον ἐπεδείξατο καὶ τοιοῦτον ζῆλον παρέστησεν εἰς Θεὸν καὶ οὕτως ἀπὸ παντὸς ῥύπου καὶ σπίλου καὶ μολυσμοῦ διὰ τῶν ἔργων καθαρὸν ἔδειξεν ἑαυτόν, ὡς μὴ δύνασθαι λοιπὸν τὰς πονηρὰς πράξεις ἀντοφθαλμίσαι εἰς αὐτόν. Ἡ γὰρ ἁρπαγὴ εἶδεν αὐτόν, καὶ ἔφυγεν· ἡ ἐπιθυμία ἐθεάσατο αὐτόν, καὶ ἐτελεύτησεν· ὁ μαμωνᾶς ὁμοίως κατανοήσας αὐτόν, ἐπτοήθη· ὁ χρυσὸς εἶδεν αὐτόν, καὶ ἀπεκρύβη· ὁ πλοῦτος ἐνέβλεψεν εἰς αὐτόν, καὶ συνετρίβη παρευθύ· * Fol. 192 ἡ ἀλαζονία κατεῖδεν[1] * αὐτόν, καὶ κατεκλάσθη παραυτά· ἡ ὑπερηφανία ἀντοφθάλμισεν αὐτόν, καὶ ἐταπεινώθη παρευθύ· ἡ ὑψηλοφροσύνη καθόρασεν εἰς αὐτόν, καὶ ὡς κόνις συνε-

2. πληροῖν V.
2. — 1. καθῖδεν V.

Cumque monasterium extra urbem aedificasset, illic residebat, studens in omnibus Deo placere, et quae divinae voluntati grata sunt, ea perficere; erat enim vir ille gratiae et veritatis plenus, et divinae electionis vas[1].

2. Hic igitur vir sanctus, divina quadam et perfecta prudentia ductus, ascendit in montem Domini et habitavit in loco sancto eius, benedictionem- * Fol. 191r que accepit a Deo Salvatore suo, et aspexit faciem * Dei Iacob[2]. Hic, qui nostris temporibus fermenti loco relictus fuit, ex perfecto illo sanctorum martyrum fermento[3], qui ab initio perfecti fuerunt; eius autem sancti viri caede ac sanguine nostrorum temporum imbecillitas firmata est. Hic vere lapis fidelis sectus est a monte[4] illorum, qui a principio fideles extiterunt; aptus enim fuit mysterii causa, ut nobis omnibus esset salutis via. Ita generosum et constans propositum in martyrio subeundo praestitit, ac talem animi ardorem in Deum ostendit, sicque ab omni sorde, labe ac macula purum se praebuit, ut prava facinora adversus illum nihil loci habere possent. Rapina ipsa statim procul ab eo fuit; cupiditates omnino extinctae nihil contra illum poterant; mammonas eius virtutem cognoscens, obstupuit; aurum se ab eo abscondit, divitiae statim ab eo spretae sunt; arrogantia confestim apud illum * Fol. 192 fracta est, superbia in eius conspectu * subito humiliata; tumor et animi elatio, ut pulvis, in eius oculis conculcata est; paupertas vero ad eius pedes

1. Io., I, 14; Act., IX, 15. — 2. Psalm. XXIII, 3-6. — 3. Gal., V, 9. — 4. Dan., II, 34.

πατήθη· ἡ μέντοι πενία περὶ τοὺς πόδας αὐτοῦ ἐπάγη δυνάμει διόλου καὶ ἡ πραότης ταῖς πλευραῖς αὐτοῦ περιεσφίγχθη ἥ τε ἀλήθεια ἐπ' αὐτὸν ἀνέτειλεν καὶ ἡ δικαιοσύνη διέκυψεν εἰς αὐτόν, ἡ ἀγάπη αὐτὸν περιεπτύξατο καὶ ἡ εἰρήνη κατεφίλησεν αὐτὸν καὶ ἔχαιρεν· ἡ δὲ ὁμόνοια ἐν τῇ μάνδρᾳ αὐτοῦ ἐφυτεύθη· καὶ πάντων τῶν καρπῶν τῆς δικαιοσύνης πλήρης ὑπῆρχεν ὁ ἀνήρ, πᾶσαί τε αὗται αἱ ἀρεταὶ ἐνῴκουν[2] ἐν αὐτῷ, ἐπειδὴ ἡ ὀσμὴ τῆς εὐωδίας τῆς ψυχῆς αὐτοῦ ὑπερβαλλόντως καθεκάστην εὐφραίνει αὐτάς, καὶ τὸν καρπὸν αὐτοῦ τῶν ἀγαθῶν ἡδέως ἤσθιον.

3. Ὡς οὖν τετραμηνιαῖον χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐποίησεν δεδεμένος σὺν τοῖς ἑπτὰ μαθηταῖς αὐτοῦ, θλιβόμενος καὶ μαστιζόμενος συνεχῶς, πάντα δὲ προθύμως ὑπομένων διὰ τὴν * εἰς τὸν Κύριον ἐλπίδα καὶ διὰ τὴν πίστιν τῆς ἀληθείας αὐτοῦ, ἦν τις * Fol. 192v κατ' ἐκεῖνο καιροῦ ὀνόματι Νηρσὰν ἄρχων τῆς πόλεως Ἀρίων τυγχάνων οὕτω λεγομένης, ἐνορίας δὲ Βηδγερμή. Οὗτος τοίνυν ὁ Νηρσὰν χριστιανὸς ὑπάρχων ἠναγκάζετο παρὰ τοῦ βασιλέως τοῦ προσκυνῆσαι τῷ ἡλίῳ, μὴ βουλόμενος δὲ ἀθετῆσαι τὴν πίστιν τοῦ Χριστοῦ ἐν δεσμοῖς γενόμενος κατάκλειστος ἐτύγχανεν· ὕστερον δὲ χαυνωθεὶς τὸν λογισμὸν αὐτοῦ καὶ πτοηθεὶς τῇ καρδίᾳ αὐτοῦ, δειλίᾳ τοῦ μαρτυρίου κρατηθείς, διὰ τὰς μελλούσας ἐπάγεσθαι αὐτῷ τῶν βασάνων ἀνάγκας οὐ συνεφώνησεν ἕως τέλους τῇ ἀγαθῇ αὐτοῦ ἀρχῇ, ἀλλ' ἐπεθύμησεν μᾶλλον τὸν πρόσκαιρον τοῦτον κτήσασθαι κόσμον, ἀποφυγὼν τὰς θλίψεις τῶν βασάνων. Ἀλλ' ὅμως ἀμφότερα ἐνθυμούμενος ὁ ἄθλιος, τῶν ἑκατέρων ἐξέπεσεν· καὶ γὰρ τὴν εἰς Θεὸν ζωὴν ἀπώλεσεν, ἀποφυγὼν τὸ μαρτύριον, τοῦ κόσμου τούτου οὐκ

2. ἐνοίκουν V.

omnino fixa et corroborata est; mansuetudo latera ipsius fuit amplexa, veritas in eo exorta, et iustitia erecta; caritas illum amplexata et pax osculata[1] eoque gavisa est; concordia in ipsius ovili posita, omnibusque iustitiae fructibus vir ille plenus fuit. Omnes hae virtutes in eo viro habitabant, quoniam odor suavis ipsius animae mirum in modum singulis virtutibus iucundus erat, et ex illius candore animi tanquam fructum quemdam libenter percipiebant.

3. Cum igitur quattuor menses in carcere confecisset una cum septem illis discipulis vinctus, afflictus et assiduis flagellis verberatus, omnia prompto animo perpessus est, propter suam * in Deum spem, veritatis fiduciam. Erat * Fol. 192v autem tempore illo quidam, nomine Nersan, princeps urbis, quae Aria dicebatur, in territorio Bedgerme. Hic Nersan, cum esset christianus, a rege ipso cogebatur solem adorare; sed cum nollet contra Christi fidem facere, in vinculis detinebatur. Postea vero animo remissiore factus, et corde perculsus, martyriique formidine detentus, propter tormenta quae violenter in illum inferenda erant, non ita ut coeperat ad extremum usque perseveravit; sed mortalis et brevis huius mundi amore captus, tormentorum augustiis succubuit; sicque miser ille, cum utrumque appeteret, ab utroque excidit. Nam divinam vitam perdidit, martyrium fugiens, et huius mundi volupta-

1. Psalm. LXXXIV, 11, 12.

ἀπήλαυσεν, τῆς ἐπιγείου δόξης ἐρασθείς. Τὴν γὰρ τοῦ προσκαίρου καὶ ἐπιγείου βασιλέως
* Fol. 193 τιμὴν ἀγαπήσας * μᾶλλον ὑπὲρ τὴν τοῦ αἰωνίου καὶ ἐπουρανίου Θεοῦ, ὡμολόγησεν ποιεῖν τὸ θέλημα τῆς ἀποστασίας καὶ ὑπείκειν εἰς πάντα τὰ θελήματα αὐτῷ.

4. Ὡς δὲ ἔγνω ταῦτα ὁ βασιλεὺς περὶ τοῦ Νηρσά, ἐχάρη σφόδρα καὶ παραυτὰ ἐν νῷ λαβὼν τὸν ἅγιον Βάδημον, ἐκέλευσεν λυθέντα αὐτὸν τῶν δεσμῶν εἰς τὴν αὐλὴν ἀχθῆναι τοῦ παλατίου διὰ τῆς πλαγίας θύρας. Εἰσῆλθον οὖν, ἔνθα ἦν ὁ Νηρσὰν δεδεμένος, καὶ λέγει ὁ βασιλεὺς πρὸς δύο τινὰς τῶν ἀρχόντων ὅτι· « Ἐὰν ἀποκτένει Νηρσὰς τὸν Βάδημον, λυθήτω τῶν δεσμῶν καὶ ἀπολαβέτω τὰ ὑπάρχοντα αὐτοῦ »· ἦν γὰρ κελεύσας τὰ αὐτοῦ πάντα τῷ ταμείῳ παραπεμφθῆναι. Καὶ ἔστησαν παραχρῆμα τὸν ἅγιον Βάδημον πρὸ τοῦ Νηρσά· ὁ δὲ ἄθλιος τοῦτο ἀκούσας παρὰ τοῦ βασιλέως λεχθὲν καὶ ὀρεγόμενος τῶν προσκαίρων, λαβὼν τὸ ξίφος ἦλθεν τοῦ ἀποσφάξαι τὸν μάρτυρα τοῦ Χριστοῦ. Ἔντρομος δὲ γενόμενος, θέλων καταγαγεῖν κατὰ τοῦ ἁγίου τὴν πληγήν, ἐπάγη
* Fol. 193v ὡσεὶ λίθος εὐθύς. Ἀνέβλεψεν δὲ εἰς αὐτὸν ὁ τοῦ Χριστοῦ δοῦλος καὶ εἶπεν· * « Ἕως τούτου ἔφθασεν τὸ τέλος τῶν κακῶν σου, ὦ Νηρσά, ὥστε μὴ μόνον ἀρκεῖσθαί σε τὸν Θεόν σου ἀρνήσασθαι, ἀλλ' ἤδη καὶ τοὺς δούλους αὐτοῦ ἀποσφάττειν ἀγωνίζεσθαι· οὐαί σοι, οὐαί σοι, ταλαίπωρε, τί ποιήσεις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ; ἢ ποῦ φύγῃς ἀπὸ τῆς φοβερᾶς κρίσεως, ὅταν στῇς ἐνώπιον τοῦ φοβεροῦ ἐκείνου βήματος, τῷ μεγάλῳ καὶ αἰωνίῳ Θεῷ ἀπολογούμενος; Ἐγὼ μὲν τοίνυν, ὦ τρισάθλιε, ἐν τῷ μαρτυρίῳ τοῦ Χριστοῦ μου προθύμως τελειοῦμαι, πλὴν δὲ διὰ τῆς χειρός σου οὐκ ἤθελον ἀποθανεῖν, διὰ δέ τινος ἄλλου ἤθελον ὑπομεῖναι. »

tibus frui non potuit, terrenam gloriam appetens. Cum enim caduci et terreni
* Fol. 193 regis * magis quam aeterni et caelestis Dei honorem amaret, se a Deo ipso velle deficere professus est, et omnibus quae rex vellet se obtemperare.

4. Rex igitur, ut audivit Nersan eo animo esse, valde gavisus est et statim de sancto Bademo cogitavit iussitque illum vinculis exsolutum in atrium palatii per obliquam ianuam duci. Bademo autem eo ingresso ubi Nersan vinctus detentus fuerat, rex duobus quibusdam principibus viris haec dicit : Si Nersan Bademum interficit, a vinculis solvatur et accipiat eius bona. Iusserat enim rex ipse omnia ipsius bona in fiscum conferri. Confestim igitur sanctum Bademum in medium constituerunt. Ille autem miser Nersan, ut audivit quod a rege dictum fuerat, cum caduca mundi bona appeteret, stricto ense ad Christi martyrem interficiendum profectus est. Sed tremore quodam correptus, cum plagam in virum sanctum infligere vellet, tamquam lapis
* Fol. 193v statim immotus permansit. At Christi servus ad eum oculos erigens : * Usque eo, inquit, o Nersan, malitia tua progressa est, ut non solum tibi satis sit quod Deum tuum negaveris, sed et servos ipsius interficere contendas? Vae tibi, infelix. Quid facies in die illo, aut quo fugies a terribili iudicio, cum steteris ante horrendum illud tribunal, magno et aeterno Deo rationem redditurus? Ego quidem, o miserrime, martyrio Christi mei prompto animo conficiar; at nollem tamen manu tua confici, sed ab alio quopiam mortem sustinere voluissem.

5. Ὁ δὲ μήτε τοῖς λόγοις τούτοις καμφθεὶς μήτε τὸ κελευσθὲν αὐτῷ ἰσχύων τελείως ἐργάσασθαι, παρέστησεν μὲν τὸ πρόσωπον αὐτοῦ ὡσεὶ λίθον καὶ τὰ σπλάγχνα αὐτοῦ ἔθετο σιδηρᾶ· ἔκρουσεν δὲ τὸν ἅγιον τετράκις τῷ ξίφει καὶ οὔτε ἅπαξ ἐπέτυχεν καιρίαν δοῦναι αὐτῷ τὴν πληγὴν καὶ ἀνελεῖν αὐτόν· λίαν γὰρ ἔτρεμεν ἡ χεὶρ αὐτοῦ. Ἐν μὲν οὖν τοιαύτῃ θλίψει παρέδωκεν * τὸ πνεῦμα αὐτοῦ ὁ μακάριος Βάδημος, κακιγκάκως[1] ταῖς πληγαῖς ἀποθανὼν τοῦ ξίφους, ὡς πάντας τοὺς παρεστῶτας ἕλληνας θαυμάσαι τὴν ἄφοβον ὑπομονὴν τοῦ ἁγίου μάρτυρος, ὅτι οὕτως ἑστὼς ὡς στύλος ἀσάλευτος τὰς βιαίας τῶν πληγῶν ἐπιφορὰς ἐδέχετο καὶ ἔμενεν τῇ καρδίᾳ ἀκίνητος· τὸν δὲ φονέα ἐκεῖνον διὰ τὴν ἀδράνειαν αὐτοῦ καὶ χαυνότητα ἐξεμυκτήρισαν καὶ ἐβδελύξαντο. Ἀλλὰ δὴ καὶ οὗτος ὁ Νηρσὰν μετ' οὐ πολὺ τῆς ἀξίας ἀμοιβῆς ἀπήλαυσεν, ἧς ἐπεδείξατο εἰς τὸν μάρτυρα τοῦ Χριστοῦ, πολλοῖς κακοῖς καὶ διαφόροις συσχεθεὶς καὶ διὰ ξίφους δεινῶς ἀπολλύμενος.

* Fol. 194

6. Ἐτελειώθη δὲ ὁ ἅγιος Βάδημος μηνὶ ἀπριλλίῳ ὀγδόῃ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Τὸ δὲ ἅγιον λείψανον αὐτοῦ ἔξω ῥιφὲν τῆς πόλεως, ἀνείλαντο αὐτὸ ἄνδρες εὐλαβεῖς λαθραίως καὶ κατέθεντο μετὰ πάσης ἐπιμελείας. Οἱ δὲ ἑπτὰ μαθηταὶ αὐτοῦ ἐποίησαν ἐν τῷ δεσμωτηρίῳ ἐγκατάκλειστοι ἔτη[1] τέσσαρα· καὶ μετὰ τὴν τελευτὴν Σαβωρίου * ἐν εἰρήνῃ ἀπελύθησαν ἐν τῇ πίστει αὐτῶν, χάριτι Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* Fol. 194v

5. — 1. κακινκάκως V.
6. — 1. ἔτι V.

5. Ille vero neque his sermonibus erubescens, neque quod iussus fuerat valens perficere, faciem suam, ut lapidem, firmavit, et cor ferreum ac durum habens, sanctum virum saepius ense illo percussit. Sed nec semel opportunam plagam infligere neque eum interficere potuit, eius enim manus valde tremebat. At beatus Bademus, cum eiusmodi angustiis affligeretur, * spiritum suum emisit, ensis ictibus tot tantisque confectus, ut omnes gentiles firmam sancti martyris patientiam admirarentur, quod velut columna quaedam immobilis persistens, violentos plagarum impetus exciperet et corde stabilis maneret, homicidam vero illum propter imbecillitatem et lentitudinem irriderent et execrarentur. Sed et hic Nersan non multo postea mercedem recepit his dignam, quae in martyrem Christi commiserat, multis et diversis malis oppressus, et ense male perditus.

* Fol. 194

6. Sanctus autem Bademus martyrio consummatus est mense aprili, die octavo, in Christo Iesu Domino nostro. Eius vero reliquias extra urbem eiectas sustulerunt clam viri religiosi, et omnem diligentiam adhibentes illas reposuerunt. Eius autem septem discipuli in carcere conclusi quattuor annos manserunt, et post mortem Saborii regis * in pace dimissi sunt; permissumque fuit ut in sua ipsorum fide permanerent, gratia domini nostri Iesu Christi, cui gloria est in saecula saeculorum. Amen.

* Fol. 194v

X

ΜΑΡΤΥΡΙΟΝ[1] ΤΩΝ ΑΓΙΩΝ[2] ΑΚΕΨΙΜΑ[3] ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ[5] ΙΩΣΗΦ[4] ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΑΕΙΘΑΛΑ[6] ΔΙΑΚΟΝΟΥ[7].

* V, fol. 53 * Ἰδοὺ[8] δὴ εἰσέρχομαι εἰς φοβερὸν τοῦ μαρτυρίου πέλαγος, εἴ γε δυνηθῶ διαπεραιωθεὶς φθάσαι εἰς τὸν τούτου λιμένα, καὶ εἰς τὰ μεγάλα αὐτοῦ περιπλέω κύματα, εἴ γε καταντήσω εἰς τὸν αἰγιαλὸν αὐτοῦ. Ἐπεὶ δὲ τὸ βάθος αὐτοῦ ἄπειρον καὶ ὁ χειμὼν φοβερός, εἰς τὸ σκάφος τῆς πίστεως τῶν γενναίως ἀθλησάντων τοῦτο τὸ μαρτύριον καταφεύγω καὶ εἰς τὰ ὅπλα τῆς νίκης αὐτῶν, ἵνα σωθῶ· ὄντως γὰρ σκάφος τοῦτο στερρόν, ὅπερ οἱ τρεῖς σοφοὶ κατεσκεύασαν τέκτονες καὶ τρεῖς πρεσβῦται ἔντεχνοι ἀρίστως ἐτελείωσαν διὰ τῶν οἰκείων βασάνων γενναίως κατασκευάσαντες· καὶ ἔχρισαν μὲν αὐτὸ ἔσωθεν καὶ ἔξωθεν τῷ αἵματι τῆς σφαγῆς αὐτῶν, ἵνα μὴ κινηθῇ ὑπὸ τῆς ζάλης τοῦ πελαγίου διωγμοῦ· ἔστησαν δὲ κατάρτιον ἐν αὐτῷ τὴν ἀλήθειαν τοῦ Χριστοῦ, ἱστίον τὴν πίστιν αὐτοῦ, κυβερνήτην τὴν ἀγάπην αὐτοῦ· διὸ καὶ ἀκινδύνως ἔπλει ἐν τῷ κλύδωνι τοῦ σφοδροτάτου πελάγους καὶ ἔνθα πλοῖα πολλὰ καὶ σκάφη διερράγη[9] καὶ ὑποβρύχια ταῖς καταιγίσι τῶν σφοδρῶν ἀνέμων τοῦ διωγμοῦ κατέστη, εὐμαρῶς τοῦτο καὶ ἀφόβως ἔδραμεν διὰ τῶν κυμάτων διὰ[10] τὴν στερρότητα αὐτοῦ. Οἱ γὰρ τέκτονες * τούτου τοῦ σκάφους παρὰ τοῦ ἀρχιτέκτονος τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν τὴν κατασκευὴν αὐτοῦ[11] μεμαθήκασιν.

* Fol. 53v

1. *praeit* μηνὶ νοεμβρίῳ γʹ λόγος γʹ K, μηνὶ νοεμβρίῳ γʹ H. — 2. τοῦ ἁγίου ἱερομάρτυρος G. — 3. Ἀκεψημᾶ H, τοῦ *add.* G. — 4. *om.* H. — 5. τοῦ ὁσιοτάτου *add.* G. — 6. Ἀειθαλᾶ H, K, τοῦ ἁγιωτάτου *add.* G. — 7. εὐλόγησον πάτερ *add.* K, κύριε εὐλόγησον πάτερ *add.* H. — 8. *prologum om.* G. — 9. διερράγη H *et prius* K, *qui postea scripsit* διερράγησαν. — 10. *om.* H. — 11. αὐτὸν H.

PASSIO SANCTORUM ACEPSIMAE EPISCOPI, IOSEPH PRESBYTERI ET AEITHALAE DIACONI.

* Fol. 53 * Ecce iam tremendum martyrii pelagus ingredior siquidem transfretare et ad portum appellere contigerit: et magnis eius fluctibus me committo, siquidem accedam ad litus. Cum autem eius altitudo immensa sit et tempestas terribilis, ad navigium fidei eorum, qui hoc certamen fortiter sustinuerunt, et ad arma victoriae eorum confugio, ut salvus sim. Vere enim firma est illa ratis, quam sapientes tres architecti et in arte industrii senes optime et fortissime suis tormentis construxerunt; et linierunt illam intrinsecus et extrinsecus[1] suae mactationis sanguine ne procella persecutionis quateretur; et posuerunt in illa malum veritatem Christi, velum autem fidem eius, gubernatorem eiusdem charitatem. Quare secura navigavit in saevissimi maris tempestate, et ubi multae naves et cymbae diffractae dissipataeque sunt, obluctantibus persecutionis procellis, feliciter illa et intrepide per fluctus cursum tenuit propter firmitatem eius. Qui enim navigium construxerant * ab architecto, qui fecit caelum et terram, artem didicerunt.

* Fol. 53v

1. Gen., VI, 14.

Ὁ μὲν οὖν κύριος αὐτῶν καὶ τῆς οἰκουμένης ἁπάσης Χριστὸς λόγῳ ἐπετίμησεν τῇ καταιγίδι καὶ τῇ θαλάσσῃ, καὶ ἐσίγησεν· αὐτοὶ δὲ διαγωνισάμενοι πρὸς τὴν ζάλην καὶ τὰς καταιγίδας τοῦ διωγμοῦ διὰ τῆς δυνάμεως αὐτοῦ περιεγένοντο τῶν ἀντιπάλων. Τῶν δὲ τριῶν τούτων ἀθλητῶν ἓν ἦν τὸ σκάφος, ἐπειδὴ καὶ ἡ πίστις αὐτῶν ὑπῆρχεν μία· εἷς ἦν ὁ βοηθὸς αὐτῶν, ἐπειδὴ καὶ οἱ τρεῖς ἕνα σταυρὸν ἐβάσταζον· καὶ ἅμα[12] ἡ ὁδὸς αὐτῶν, ἓν γὰρ τὸ πνεῦμα τὸ ἅγιον ἐξ οὐρίας ἔπνει ἐν αὐτῷ· καὶ τρεῖς οἱ ἔμποροι οἱ ἐν αὐτῷ ἐμπορευόμενοι, επειδὴ καὶ ὁ πλοῦτος αὐτῶν ἦν ἡ τριάς· ἐπληθύνθη ἡ ἐνθήκη αὐτῶν, ὥσπερ οὖν καὶ αἱ βάσανοι αὐτῶν ἐπλεόνασαν· καὶ ἐμεγαλύνθη ἡ ἐμπορία αὐτῶν, ὃν τρόπον ἐμεγαλύνθησαν καὶ αἱ θλίψεις αὐτῶν· ἐλιπάνθη τὸ κέρδος αὐτῶν, ὥσπερ οὖν ἐπιάνθησαν καὶ αἱ ἀνάγκαι αὐτῶν· ἐφαιδρύνθη καὶ ἐδοξάσθη ὁ θησαυρὸς αὐτῶν, ἐπειδὴ καὶ λίαν ἐδάμασεν αὐτοὺς τὸ δεσμωτήριον ἐν τῷ σκότει αὐτοῦ διὰ δὲ τὴν σπουδὴν τῆς προθέσεως αὐτῶν σὺν ἀγαλλιάσει καὶ πολλῇ παρρησίᾳ ὑπεισῆλθεν τὸν τῆς ζωῆς λιμένα, ὃν οὐκ ᾠκοδόμησαν[13] ἐν πολυτελείᾳ * βασιλεῖς τῆσδε τῆς οἰκουμένης οὐδὲ τεχνῖται τῆς γῆς τῇ ἑαυτῶν πολυπειρίᾳ εἰς ὕψος ἀνήγειραν οὐδὲ ἐδόξασαν αὐτὸν σαρκικοί· εἷς δὲ ἔστι σταυρὸς ὁ κοσμήσας αὐτὸ καὶ ὑψώσας εἰς πάντων ἀνθρώπων σωτηρίαν· διὰ τούτων τῶν τριῶν ἐγαλήνιασε τὸ μαινόμενον τοῦ διωγμοῦ πέλαγος· διὰ τούτων κατεστορήθη[14] τὰ κορυφούμενα τῆς μανίας αὐτοῦ κύματα· καὶ διὰ τούτων ἐδέθη τὰ στόματα τῶν θηρίων τῶν ἐν αὐτῷ, ἵνα μὴ ἀποκτένωσιν, καθάπερ ἀπέκτενον· διὰ τούτων ἐφράγη τὸ στόμα τοῦ δράκοντος, ὅπως μηκέτι διαφθείρῃ[15], καθάπερ διέφθειρεν· διὰ τούτων ἐσβέσθη ὁ θυμὸς αὐτοῦ τῶν ἀσπίδων τοῦ μηκέτι ἀπολλύειν. ὥσπερ οὖν * Fol. 54

12. ἅμα K, H. — 13. *corr. prius* ᾠκοδόμησεν H. — 14. κατεστυρέσθη H. — 15. διέφθειρε H.

Illorum quippe et totius mundi dominus Christus verbo imperavit procellae et mari, et siluit[1]; illi vero contra motum procellasque persecutionis luctantes eius fortitudine adversarios superaverunt. Iam, horum trium athletarum, una fuit navis quia et una fides erat; unus erat auxiliator, quia unam crucem omnes gestabant; una quoque erat via quia unus Spiritus sanctus eisdem afflabat; tres etiam erant mercatores simul negotiabantur, quia una erat rerum copia, videlicet Trinitas; tantum multiplicata est sors eorum quantum tormenta augebantur; et cum angustiis crescebat eorum negotiatio, et lucrum cum suppliciis dilatabatur. Splendebat et celebrabatur thesaurus eorum, quia carcer suis tenebris eos vehementer afflixerat; per studium autem propositi eorum cum gaudio et fiducia magna intravit in portum vitae, quem non exstruxerunt in magnificentia sua *reges terrae, neque huius mundi artifices peritia sua in altum excitarunt neque laudarunt homines carnales; una est crux quae illum ornavit et exaltavit ad salutem omnium hominum. Per illos tres furens persecutionis mare quievit; per illos sedati sunt eius furoris fluctus altissimi; per illos ligata sunt ora marinarum bestiarum ne homines occidere pergerent; per illos obstructum est os draconis ut eius infestationes cohiberentur; per illos exstincta est ferocia serpentium eius ne interitum amplius inferrent. Ex profundo huius maris varias * Fol. 54

1. Matth., VIII, 26.

ἀπώλλυεν· ἐκ δὴ τοῦ βυθοῦ τοῦ πελάγους τούτου πολυτίμους ἀπήνεγκαν μαργαρίτας[16] καὶ ἐν τῇ μεγίστῃ αὐτοῦ ζάλῃ ἐντίμους ἀνεκομίσαντο λίθους καὶ ἐν τῇ σφοδρᾷ αὐτοῦ καταιγίδι ἀμέτρητον ἐμπορίαν ἐκομίσαντο· οὗτοι ἔμποροι σοφοὶ εἰθισμένοι εἰς τὴν αἰώνιον ζωὴν ἐμπορεύεσθαι· οὗτοι ἐκεῖνοί εἰσιν οἱ κατελθόντες εἰς θάλασσαν ἐν πλοίοις καὶ ποιήσαντες ἐργασίαν ἐν ὕδασι πολλοῖς· ὧν εἰς τοὺς τραχεῖς καὶ φοβεροὺς τόπους ἐπλατύνθη καὶ ὑψώθη ἡ ἐμπορία.

* Fol. 54v Τοιγαροῦν ἱκετεύω σε, Κύριε, διὰ τοὺς οἰκτιρμούς σου, δὸς μικρὸν συνέσεως καὶ * σοφίας διηγήσασθαι τὸ πάθος τοῦ μαρτυρίου αὐτῶν, οὐχ ἵνα δοξασθῶ, δέσποτα ἀγαθέ, ἀλλ' ὅπως ὠφεληθεὶς ὠφελήσω, οὔτε ἵνα καυχήσωμαι, ἀλλ' ἵνα οἰκοδομηθῶ καὶ οἰκοδομήσω καὶ φωτισθῇ ἡ διάνοιά μου ἡ ἐσκοτισμένη καὶ ὁ λόγος μου σχοίη πλάτος τε καὶ εὔροιαν, πλησθεὶς συνέσεως τῆς παρὰ σοῦ καὶ γνώσεως, ἀγάπης τε καὶ προθυμίας καὶ ἐλπίδος κτήσωμαι δύναμιν καὶ βοήθειαν καὶ ὑπερασπισμὸν σωτηρίου καὶ ἐκ τοῦ παραδείσου τῶν βασάνων αὐτῶν λάβω ἄνθη καὶ πλέξω στέφανον τῆς ἀθλήσεως αὐτῶν, ἔκ τε τοῦ θησαυροῦ τῆς ἐρωτήσεως αὐτῶν ἄρω[17] χρώματα καὶ τελείαν εἰκόνα γράψω τῆς ἀνδρείας αὐτῶν.

Πῶς ὑμᾶς καλέσω, μαχηταὶ γενναῖοι, καὶ πῶς ὑμᾶς ὀνομάσω, ὦ ἀθλοφόροι πρεσβῦται καὶ ἰσχυροὶ ἀγωνισταί; οἵτινες στεφάνους ἰδόντες καὶ δόματα βασιλικὰ ἐνεδύσασθε νεότητα εἰς πόλεμον καὶ θεασάμενοι βραβεῖα καὶ δῶρα ἐπουράνια εἰσήλθατε[18] προθύμως εἰς τὸν ἀγῶνα τὸν δι' αἵματος· ἡ σμικρότης μου οὐ χωρεῖ τὰ νεανικὰ παλαίσματα ὑμῶν διη-

16. πολυτίμους μαργαρίτας ἀπηνέγκαντο H. — 17. ἀρῶ K, H. — 18. εἰσήλθετε H.

margaritas extulerunt, et in vehementissima procella collegerunt gemmas et immensas opes in violenta tempestate congregarunt. Hi sapientes negotiatores in vitam aeternam negotiationem exercere solebant. Hi sunt qui descendunt mare in navibus et laborant in aquis multis[1], quorum negotiatio dilatata est et elevata in asperis et horrendis locis.

Quapropter, supplico te, Domine, per misericordiam tuam, da mihi parum
* Fol. 54 intellegentiae et * sapientiae ad narrandam passionem martyrii eorum, non ut laudem colligam, magister bone, sed ut ipse utilitatem colligens aliis et praestem; non ut inani gloria fruar, sed ut ipse aedificatus alios aedificem et illuminetur mens mea obscurata et sermo meus copioso et facili cursu fluat, repletus intellegentiae, quae est a te et scientia; amore et studio et spe concilíem mihi fortitudinem et auxilium et defensionem salutaris et ex horto cruciatuum eorum colligam flores et coronam certaminis eorum texam, et ex thesauro quaestionis eorum desumam colores, perfectamque fortitudinis eorum imaginem depingam.

Quomodo vos vocabo, bellatores egregii, et quo nomine vos compellabo, o invicti senes et athletae fortissimi? qui videntes coronas et dona regia induistis iuventutem ad bellum, et aspicientes praemia et bona caelestia, alacri animo inistis certamen per sanguinem. Parvitas mea iuvenilia vestra

1. Psalm. cvi, 23.

γήσασθαι, ἀλλ' οὐδὲ τῆς νίκης ὑμῶν ἐφικέσθαι δύναται· ὑμεῖς γάρ ἐστε οἱ μεγιστᾶνες τῆς καθολικῆς ἐκκλησίας, οἵτινες διὰ τοῦ μαρτυρίου εἰς τὴν τιμὴν τῆς βασιλείας προεκόψατε· καὶ εἰ καὶ[19] ἐγὼ τὸν ἀγῶνα ὑμῶν καθώς ἐστιν οὐχ οἷός τέ εἰμι διηγήσασθαι, ἀλλ' ἰδοὺ ἡ σφαγὴ ὑμῶν[20] καὶ τὸ αἷμα *ὑμῶν[21] ὑπὲρ ὑμῶν φθέγγεται· καὶ ἐπείπερ τέλειοί ἐστε[22], οὐκ ἀθετεῖταί μου ἡ σπουδὴ τῆς προθέσεως οὐδὲ ἡ ἰδιωτεία μου ἐξουθενεῖται· εἰ γὰρ καὶ τὰ χρώματά μου στυγνά, αὕτη ἡ εἰκὼν τῆς ἀθλήσεως ὑμῶν τελεία καὶ φαιδρὰ ὑπάρχει. * Fol. 55

Ἄρχομαι τοίνυν ζωγραφεῖν τὴν εἰκόνα τοῦ νεανικοῦ φρονήματος ὑμῶν καὶ ὑψώσας ταύτην τῇ οἰκουμένῃ[23] ἀναστήσω, ἵνα προσέχωσιν αὐτῇ γενεαὶ αἱ ἐρχόμεναι καὶ δοξασθῇ ὁ Θεὸς διὰ τῆς ὑπομονῆς ὑμῶν, ἐπαινεθῇ δὲ καὶ τὸ γῆρας ὑμῶν μετὰ τῆς προθέσεως καὶ μεγαλυνθείη[24] ἡ ἄθλησις ὑμῶν, ἵνα ἡ διήγησις ὑμῶν εἰς προθυμίαν ἐγείρῃ σοφοὺς πολλοὺς καὶ γνωρισθῇ ὁ πόλεμος ὑμῶν τῇ οἰκουμένῃ καὶ κηρυχθῇ ὁ ἀγὼν ὑμῶν εἰς τὰ πέρατα τῆς γῆς δυναμωθῶσί τε πολλοὶ καὶ ὀλιγόψυχοι πολλοὶ στερροποιηθῶσιν καὶ οἱ πεπτωκότες ἀναστῶσιν.

Δεῦρο οὖν ἄκουσον σὺν πολλῇ προθυμίᾳ, ὦ ἀκροατά, καὶ καμὼν ψήφισον ὥρας τε καὶ ἡμέρας καὶ μῆνας τριῶν ἥμισυ ἐνιαυτῶν, ὧν ἐν τοῖς δεσμοῖς ἐποίησαν, καὶ κατέχων τὴν ποσότητα τοῦ χρόνου ἐν τοῖς δακτύλοις σου μακροθύμως ἄκουσον παρ' ἐμοῦ μετὰ συνέσεως, ὅτι οὐ παρῆλθεν ἡμέρα[25] χωρὶς θλίψεως αὐτῶν οὐδὲ ἐπληρώθη ἄνευ βασάνων αὐτῶν· καθ'

19. *supra lin.* H. — 20. *corr. prius* σφαγὴ μῶν H. — 21. *om.* H. — 22. τελειοίστε H. — 23. τὴν οἰκουμένην K. H. — 24. μεγαλυνθῇ H. — 25. *om.* H.

certamina narrare nequit, sed neque assequi vestram victoriam. Vos enim estis principes catholicae ecclesiae, qui per martyrium ad honorem regni pervenistis; et si ego quoque vestro certamini enarrando impar sum, ecce caedes et sanguis *vester pro vobis loquitur; et siquidem perfecti estis, propositi mei studium non spernetur neque imperitia mea contemnetur. Si enim colores mei exsangues, ipsa imago vestri certaminis perfecta et splendida est. * Fol. 55

Incipio igitur simulacrum pingere iuvenilis animi vestri, illudque elevans in orbe terrarum constituam, ut in illud intendant generationes venturae et glorificetur Deus propter vestram patientiam, laudeturque senectus vestra cum proposito et magnificetur certamen vestrum, ut vestra narratio ad alacritatem excitet multos sapientes et cognoscatur bellum vestrum toto orbe et praedicetur praelium vestrum usque ad fines terrae, corroborentnr et firmentur multi pusillanimes et surgant qui ceciderunt.

Tu igitur, sedulo ausculta, o auditor; adesto animo et diligenter supputa horas et dies et menses annorum trium cum dimidio quibus in custodia detenti sunt; et postquam numerum digitis computatum tenueris, patienter a me ausculta et intellege nullum praeterisse diem sine vexatione eorum neque cru-

* Fol. 55v ἑσπέραν γὰρ ἀπειλὴ σὺν αὐτοῖς ἐκάθευδεν καὶ πρωῒ μάστιγες αὐτοὺς * διεδέχοντο· τοῦ δὲ μηνὸς ἀρχομένου καὶ μεσοῦντος, περιβάλλοντες αὐτοῖς σχοινία κατὰ τῶν ψυῶν καὶ κνημῶν καὶ ὤμων μετὰ ξύλων ἄνδρες ἰσχυροὶ περισφίγγοντες ἀνήρτων αὐτούς, ὥστε τὰ ὀστᾶ αὐτῶν πάντα συντρίβεσθαι καὶ τὰ μέλη αὐτῶν ἀπ' ἀλλήλων διαιρεῖσθαι· ἐν λιμῷ τε καὶ δίψει ἐδάμαζον αὐτοὺς καθ' ἑκάστην τῇ ἀπὸ ἄρτου καὶ ὕδατος ἐνδείᾳ συνεχῶς τε τοῖς λίθοις ἔβαλλον. Τούτων οὖν, ὧν τοσαύτη ἡ ὑπομονή, πόση ἄρα ἡ ἀνταπόδοσις; καὶ ὧν τοσαύτη ἡ καρτερία, πόσος ὁ μακαρισμὸς αὐτῶν; ὧν τε τοιαύτη ἡ ἀγάπη, πόση ἡ κληρονομία τῆς βασιλείας τῶν οὐρανῶν; καθὼς ὁ κύριος εἶπεν· Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν ἐμοῦ, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

1. Ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τοῦ διωγμοῦ ἡμῶν ἀνεκαινίσθη[1] τὰ τῶν συμφορῶν ἡμῶν[2]. Ἐξῆλθεν γὰρ δόγμα σκληρότατον[3] καὶ ἐξουσία ἐδόθη[4] τοῖς ἀρχιμάγοις, ἵνα πάντας τοὺς χριστιανοὺς τιμωρήσονται κατὰ τὸ ἀρέσκον αὐτοῖς. Οἱ μέντοι[5] ἅγιοι[6] καὶ γενναῖοι τοῦ Χριστοῦ ἀγωνισταὶ[7] κατεφρόνησαν[8] καὶ τοῦ βασιλέως καὶ τῶν διατάξεων αὐτοῦ καὶ τῶν ἀρχόντων πάντων[9], ἐγκαρτεροῦντες τοῖς διωγμοῖς καὶ πᾶσαν βάσανον ὡς[10] οὐδὲν λογιζόμενοι. Θεασάμενοι οὖν οἱ ἀρχιμάγοι, ὅτι τὸ τοῦ βασιλέως ἐξουθενεῖται δόγμα πολλαί τε[11] ψυχαὶ ἀπὸ τῆς πλάνης αὐτῶν ὑπὸ τῶν τοῦ κυρίου δούλων ἐπὶ τὸν Θεὸν ἐπι-
* Fol. 56 στρέφουσιν[12], * διδασκόμενοι[13] αὐτῷ μόνῳ λατρεύειν καὶ μήτε τῷ ἡλίῳ μήτε τῇ σελήνῃ

1. — 1. πάλιν *add.* G. — 2. καὶ ἀνερριπίσθη τὰ τῆς ταραχῆς καὶ ἀνῆφθη καθ' ἡμῶν ἡ πονηρὰ τῶν ἀρχόντων μανία *add.* G. — 3. ἐχθρώτατον G. — 4. παρὰ τοῦ βασιλέως Περσῶν πᾶσι *add.* G. — 5. (ἀρέσκον-μέντοι) ἀρεστὸν τῇ ψυχῇ αὐτῶν· τούτου οὖν οὕτως τοῦ ἀνόμου ἐκφωνηθέντος δόγματος οἱ G. — 6. οὗτοι *add.* G. — 7. οὐκ ἐρυθρίασαν τὸ σύνολον ἔν τινι ἀλλὰ *add.* G. — 8. ἔτι *add.* G. — 9. ἁπάντων G. — 10. εἰς G. — 11. καὶ πολλαὶ G. — 12. αὐτῶν ἀποστρέφουσι καὶ ὑπὸ τῶν τοῦ Χριστοῦ δούλων κατηχούμενοι ἐπὶ τὸν Θεὸν ἐπιστρέφουσι G. — 13. παρ' αὐτῶν τοῦ *add.* G.

ciatu; singulis enim vesperis minae cum ipsis decumbebant, et mane flagella
* Fol. 55v ipsos * excipiebant. Mense autem ineunte et mediante, inicientes ipsis funes in lumbis et tibiis et umeris cum lignis, viri validi eos constringebant suspendebantque, ita ut omnia ossa eorum contererentur et membra eorum discerperentur; in fame et siti eos cotidie panis et aquae penuria cruciabant, atque assidue lapidibus contundebant. Illorum igitur, quorum tanta fuit patientia, quanta est merces? et quorum tanta fuit tolerantia, quanta est beatitudo? Quorum tantus amor, quanta hereditas regni caelorum? Sicut dicit Dominus : Beati qui persecutionem patiuntur propter me, quia ipsorum est regnum caelorum[1].

1. Trigesimo septimo contra nos persecutionis anno, iterata est calamitatum nostrarum series. Emissum enim est decretum durissimum et potestas a rege Persarum archimagis facta est ut in omnes christianos animadverterent prout sibi visum fuerit. Sancti autem et ingenui Christi athletae et regem et edicta et magistratus omnes spreverunt, forti animo persecutiones sustinentes omnemque cruciatum pro nihilo reputantes. Videntes ergo archimagi nihili fieri regis decretum et multas animas ab eorum errore converti
* Fol. 56 ad Deum, a Christi servis * edoceri Deum unum colere et nec solem neque

1. Matth., v, 10.

προσκυνεῖν μήτε τὸ πῦρ καὶ τὸ ὕδωρ τιμᾶν, μὴ[14] γαμεῖν[15], ἀλλὰ μᾶλλον ἁγνείαν αἱρεῖσθαι[16] καὶ ταύτην φυλάττειν[17] καὶ μετὰ βασιλέως εἰς πόλεμον μὴ ἐξιέναι μήτε[18] φόνοις μιαίνεσθαι καὶ αἵμασιν ἀνθρώπων[19], πάντα δὲ τὰ εἰς βρῶσιν τῶν τετραπόδων νενομισμένα καὶ[20] πετεινῶν χωρὶς διαλογισμῶν θύειν τε καὶ ἐσθίειν, ἀλλὰ μὴν καὶ τοὺς νεκροὺς θάπτειν καὶ γνωρίζειν[21], ὅτι περ καὶ τὰ ἄγρια ζῷα καὶ πάντα τὰ τετράποδα[22] καὶ ἑρπετὰ μὴ τὸν σατανᾶν πεποιηκέναι, ἀλλὰ τὸν Θεόν[23], εἰσελθόντες[24] πρὸς τὸν βασιλέα καὶ τοὺς ἄρχοντας καὶ τοὺς μεγιστᾶνας αὐτοῦ[25] πάντα αὐτοῖς ἀνέθεντο.

2. Οἱ δὲ ἀκούσαντες[1], ὥσπερ πῦρ ἐν δρυμῷ οὕτω[2] τῷ θυμῷ κατὰ τῶν χριστιανῶν ἐξεκάησαν[3]. Ἐν τῷ καιρῷ οὖν τούτῳ[4] κατεσχέθη ὁ ἁγιώτατος ἐπίσκοπος Ἀκεψιμᾶς[5], ἀπὸ πατρίδος Ἀνίθα[6] καλουμένης[7], πρεσβύτης πάνυ[8], ὀγδοηκοστὸν[9] ἔτος[10] ἄγων[11] τῷ μέντοι σώματι ἰσχυρὸς[12] καὶ ὡραῖος τῷ εἴδει σφόδρα[13], γένους τε μεγάλου[14] καὶ[15] πλουσίου, καὶ ἀγάπην[16] πολλὴν πρός τε ξένους καὶ[17] πτωχοὺς κεκτημένος καὶ διὰ[18] τῆς συνούσης αὐτῷ χάριτος πολλοὺς ἕλληνας ἐπέστρεφεν εἰς τὴν γνῶσιν τῆς ἀληθείας· ἦν δὲ καὶ εἰς πάσας[19] τὰς ἐντολὰς τοῦ κυρίου ἄμεμπτος[20], ἐγκρατής τε[21] οὐκ ἀπὸ ἄρτου καὶ ὕδατος μόνον, *ἀλλὰ καὶ ἀπὸ παντὸς πονηροῦ[22] πράγματος. Ἐν δὲ τῇ κατανύξει τοσοῦτος[23] ἦν ἐν ταῖς προσευχαῖς[24], ὥστε πάντα τόπον[25] βρέχειν[26] τοῖς δάκρυσιν[27] εὐχόμενον. * Fol. 56r

14. μήτε G. — 15. μήτε ἄλλο τι εἰς ἀρετὴν τοῦ Θεοῦ συντείνων ποιεῖν *add.* G. — 16. προαιρεῖσθαι G. — 17. ἀσφαλῶς *add.* G. — 18. καὶ G. — 19. ἐγκυλίεσθαι *add.* G. — 20. τῶν *add.* G. — 21. τοῦτο *add.* G. — 22. τε *add.* G. — 23. δεδημιουργηκέναι αὐτὰ *add.* G. — 24. οἱ μιαροὶ ἀρχιμάγοι *add.* G. — 25. αὐτῶν G.

2. — 1. ταῦτα *add.* G. — 2. ἢ ὡς θηρίον ἀπάνθρωπον αἷμα δειψῶν οὕτως G. — 3. ἐξεκαύθησαν G. — 4. τοῦ διωγμοῦ *add.* G. — 5. ἦν δὲ οὗτος ὁ ἅγιος *add.* G. — 6. Ἀνηθᾶ G. — 7. οὕτω G. — 8. τῇ πολιᾷ καὶ τοῖς χρόνοις ὑπάρχων G. — 9. γὰρ *add.* G. — 10. ἔτος ἦν G. — 11. ἐν τῇ ἡλικίᾳ αὐτοῦ *add.* G. — 12. ὑπῆρχεν *add.* G. — 13. σφ. τ. εἴδη ἐτύγχανεν G. — 14. ἦν *add.* G. — 15. σφόδρα *add.* G. — 16. ἀγάπην τε G. — 17. τοὺς *add.* G. — 18. ἦν διὰ δὲ G. — 19. (ἦν-πάσας) καὶ εἰς G. — 20. ἀμέμπτους εἶναι παρεσκεύαζεν αὐτοὺς G. — 21. δὲ ἦν ἅγιος οὗτος G. — 22. κακοῦ G. — 23. αὐτοῦ τοσοῦτον G. — 24. ἐν ταῖς προσευχαῖς *om.* G. — 25. σχεδὸν *add.* G. — 26. αὐτὸν *add.* G. — 27. αὐτοῦ *add.* G.

lunam adorare, neque ignem et aquam honorare neque uxorem ducere, sed potius castitatem eligere eamque custodire, nec ad bellum cum rege proficisci nec homicidiis nec hominum sanguine inquinari, omnia vero quae cibandis quadrupedibus et avibus usui veniunt absque dubitatione immolare et etiam edere, sed et mortuos sepelire et exploratum habere fera animalia et quadrupedia et reptilia non a satana sed a Deo creata esse; ingressi ad regem et magistratus eiusque primates, omnia eis exposuerunt.

2. Quae cum audissent, sicut ignis in silva ita iracundia adversus christianos accensi sunt. Hoc ergo tempore arreptus est sanctissimus episcopus Acepsimas, ex patria quae dicitur Anitha, provecta aetate, octogesimum annum agens; corpore tamen robustus erat et forma admodum decorus; generis autem excelsi erat et divitis; amore magno erga advenas pauperesque tenebatur, et propter insitam sibi gratiam multos convertit gentiles ad veritatis cognitionem; irreprehensibilis erat in omnibus Domini mandatis, neque tantum modice pane et aqua utebatur * sed et ab omni opere malo abstinebat. In compunctione vero tantus erat ut, cum oraret, totum locum lacrimis rigaret. * Fol. 56v

3. Πρὸ δὲ τοῦ κρατηθῆναι αὐτὸν[1] ἐν μιᾷ τῶν ἡμερῶν συνέβη παιδίον μικρὸν ἀνατεθραμμένον[2] ὑπ' αὐτοῦ, λεγόμενον Πάπαν, φθειρίζειν τὴν κεφαλὴν τοῦ μακαρίου[3] καὶ[4] φιλῆσαι αὐτὴν καὶ εἰπεῖν· « Μακαρία αὕτη ἡ φαλάκρα[5], ἥτις διὰ τὸν Χριστὸν εἰς μαρτύριον[6] ἔχει προχωρῆσαι », καὶ[7] γὰρ ἦν[8] φαλακρὸς[9] ὁ ἅγιος. Ὁ δὲ περιλαβὼν ἐφίλησεν[10] τὸ παιδίον καὶ εἶπεν· « Εἰσακουσθείης, τέκνον, καὶ ταχέως πληρώσει ὁ Θεὸς τὴν προφητείαν σου[11], καὶ δώῃ μοι τὴν μερίδα ταύτην τὴν μεγάλην[12] τὴν ἐξελθοῦσαν ἐκ[13] τοῦ στόματός σου[14]. » Ἕτερος δὲ ἐκάθητο ἐκεῖ[15] ἐλθὼν εἰς ἐπίσκεψιν τοῦ μακαρίου[16] καὶ ἀκούσας ταῦτα[17], ἐγέλασεν[18] καὶ εἶπεν πρὸς τὸ παιδίον· « Τέκνον, εἰ οὖν[19] οἶδας[20] καὶ περὶ ἐμοῦ, εἰπέ[21], τί μοι ἀπόκειται. » Καὶ[22] λέγει πρὸς αὐτὸν τὸ παιδίον[23]· « Ὡς ἀπέρχῃ αὐτὸς εἰς τὴν πόλιν σου, οὐκ ἔχεις φθάσαι εἰς αὐτήν, ἀλλ' ἐν τῇ ὁδῷ[24] τῇ καλουμένῃ Ἀθραδαρᾷ[25] ἐκεῖ ἔχεις τελευτῆσαι. » Καθὼς δὲ[26] εἶπεν τὸ παιδίον, οὕτως ἐξέβη[27]. Ὁ μὲν γὰρ μακάριος Ἀκεψιμᾶς ἐμαρτύρησεν[28] ὁ δὲ[29] κατὰ τὴν ὁδὸν ἐτελεύτησεν[30].

4. Ὕστερον δὲ μετὰ τὸ κρατηθῆναι αὐτόν[1], παρῄει δεδεμένος διὰ τῆς οἰκίας αὐτοῦ.
* Fol. 57 Καὶ[2] λέγει τις[3] πρὸς αὐτον ἐν μυστηρίῳ· « Ἔντειλαι περὶ τῆς *οἰκίας σου, ἵνα μὴ ἐρημωθῇ. » Καὶ[4] ἐκτείνας τὴν χεῖρα αὐτοῦ[5] εἶπεν· « Αὕτη ἡ οἰκία οὐκ ἔστιν ἔτι[6] οἰκία μου καὶ αὕτη ἡ κληρονομία μου οὐκ ἔστιν[7] κληρονομία μου, ἀλλ' οἰκία καὶ κληρονομία μου ὁ Χριστός ἐστιν, ὅτι πλὴν αὐτοῦ ἕτερον οὐδὲν ἠγάπησα. »

31. Post eum introductus est sanctus Ioseph. Dixitque ei impiissimus archimagus : Contemplatus es dementem socium tuum, in quanta afflictione mortuus sit, cum nos audire noluerit nec voluntatem regis exsequi nec solem adorare? Fac ergo ipsam regis voluntatem, ut vivat anima tua et eripiaris ab imminenti acerbissima morte. Qui haec audiens dixit : Ego solem non adoro; non enim Deus est, et quod iubetur ab iniquo rege non facio, quia mala et illicita iussit; nec profecto Deum meum viventem cum dis tuis, qui eius opera et creaturae sunt, permutabo. Quod ergo vis facere, fac.

αὐτοῦ καὶ ποιήματα ὄντας[14] καταλλάσσω. Ὃ τοίνυν[15] θέλεις ποιεῖν, ποίει[16]. » Θυμωθεὶς οὖν ὁ μιαρὸς[17] κελεύει καὶ αὐτὸν[18] ἐκταθῆναι. Καὶ[19] τείνουσιν[20] αὐτὸν τριάκοντα ἄνδρες κατὰ τὸ αὐτὸ[21] καὶ ἕτεροι ἔτυπτον[22] τοῖς ὠμοῖς δέρμασιν[23], ἕως ὅτου[24] τὸ σῶμα αὐτοῦ * ὅλον ἐγένετο τραῦμα ἕν. Ἕτεροι δὲ ἐπεφώνουν αὐτῷ· « Ποίησον τὸ θέλημα τοῦ βασιλέως καὶ σώθητι[25]. » * Fol. 64

32. Ὁ δὲ ὅσιος[1] ἀνεβόα φωνῇ μεγάλῃ λέγων· « Εἷς Θεός ἐστι μόνος[2] ὁ ποιήσας τὰ πάντα καὶ ἕτερος οὐκ ἔστι πάρεξ αὐτοῦ. Καὶ ἡμεῖς δὲ εἰς μίαν πίστιν τὴν αὐτοῦ[3] καὶ εἰς μίαν ἀλήθειαν καὶ προθυμίαν ἱστάμεθα. » Ὡς δὲ[4] πολὺ αὐτόν ταῖς μάστιξι κατῄκιζον, οὐκέτι[5] ἠδύνατο λαλεῖν[6] αὐτοῖς. Νομίσαντες δὲ[7] αὐτὸν τεθνάναι[8] ἀπέστησαν τοῦ μαστίζειν[9], καὶ κατέπεσεν ἡμιθανής. Σύραντες οὖν καὶ[10] αὐτὸν ἔρριψαν ἔξω[11]. Μαθόντες μέντοι[12], ὅτι ζῇ ἔτι[13], ἐκέλευσαν αὐτὸν τηρεῖσθαι[14].

33. Καὶ μετ' αὐτὸν[1] προσήχθη τρίτος ὁ ἅγιος Ἀειθαλᾶς. Καὶ πρὸς αὐτὸν ὁ ἀσεβής[2]· « Ἄκουσόν μου[3], καὶ μὴ στήσῃς τὸν κάκιστον λογισμὸν τοῦτον, καθάπερ οἱ ἑταῖροί σου, οἵτινες πικρῷ[4] θανάτῳ ἀπώλοντο· ἀλλὰ ποίησον τὸ θέλημα[5] τοῦ βασιλέως καὶ προσκύνησον τῷ μεγάλῳ θεῷ ἡλίῳ καὶ ζῆθι, καὶ δόξαν καὶ[6] δόματα βασιλικὰ κομίσῃ παρ' ἐμοῦ. » Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἀειθαλᾶς ἔφη[7] πρὸς αὐτόν· « Θαυμάζω, ὦ ταλαίπωρε καὶ τυφλὲ

14. ὑπάρχοντα G. — 15. ἀνταλλάξομαι· ὃ οὖν G. — 16. εἰς ἐμὲ ταχέως ποίησον G. — 17. (ο. ὁ. μ.) δὲ ὁ μιαρώτατος ταῦτα ἀκούσας ὁμοίως καὶ αὐτὸν G. — 18. (κ. α.) *om.* G. — 19. εἰς μάστηγας G. — 20. οὖν *add.* G. — 21. σχῆμα *add.* G. — 22. αὐτὸν *add.* G. — 23. ἐπὶ τοσοῦτον δὲ αὐτὸν ἐβασάνησαν *add.* G. — 24. οὗ G. — 25. σωθήσῃ G.

32. — 1. Ἰωσὴφ τυπτόμενος *add.* G. — 2. μ. ἐ. Θ. G. — 3. αὐτὴν τῷ προβασανησθέντι ἡμῶν πατρὶ G. — 4. ἐπὶ *add.* G. — 5. λοιπὸν *add.* G. — 6. ἀποκρίνεσθαι G. — 7. οὖν G. — 8. τεθνηκέναι ἐκ τοῦ μὴ δύνασθαι αὐτὸν λαλεῖν G. — 9. αὐτὸν *add.* G. — 10. *om.* G. — 11. μετ' οὐ πολὺ δὲ *add.* G. — 12. *om.* G. — 13. ἔτι ζῇ G. — 14. ὑπὸ φυλακῶν *add.* G.

33. — 1. μετὰ δὲ τοῦτον τὸν ὅσιον G. — 2. (καὶ-ἀσεβής) ὁ δὲ ἀρχιμάγος ἰδὼν αὐτὸν ἔφη πρὸς αὐτόν G. — 3. Ἀειθαλᾶ *add.* G. — 4. πικροτάτῳ G. — 5. πρόσταγμα G. — 6. τιμὴν πολλὴν καὶ *add.* G. — 7. εἶπεν G.

Incensus ergo sceleratus illum quoque iubet distendi; et extendunt eum triginta viri eadem ratione, et alii caedebant eum crudis coriis donec * totum eius corpus unum vulnus fieret. Alii vero clamabant ei : Exsequere voluntatem regis et salvus eris. * Fol. 64

32. Sanctus autem clamabat voce magna dicens : Unus solus est Deus qui fecit omnia et alius non est extra eum. Et nos in una fide eius et in una veritate ac studio consistimus. Cum autem eum diu virgis cecidissent, iam non poterat eis loqui. Existimantes autem eum obiisse, flagellare eum destiterunt, et procubuit semimortuus. Illum ergo quoque traxerunt et foras eiecerunt. Cum autem audivissent eum adhuc vivere, iusserunt eum custodiri.

33. Post hunc autem adductus est tertius sanctus Aeithalas. Et dixit ei impius : Audi me, et noli pessimum consilium hoc retinere, sicut socii tui, qui acerba morte perierunt; sed exsequere voluntatem regis et adora magnum deum solem et vive, et gloriam et dona regia accipies a me. Respondens autem sanctus Aeithalas dixit ei : Miror, o miser et caece, qui oculis mentis

καὶ μὴ βλέπων τοῖς τῆς διανοίας ὀφθαλμοῖς. ὄντως ζῷον ἄλογον τυγχάνων[8] καὶ ἀνόητον· εἰ[9] γὰρ ἐκεῖνοι[10] παλαιότεροί μου ὑπάρχοντες οὕτω[11] γενναίως ἐγκαρτερήσαντες[12] δόξαν τὴν ἀγήρω εἰς αἰῶνα[13] ἐκληρονόμησαν διὰ τοῦ θανάτου τοῦ διὰ τῶν χειρῶν σου ἐπελθόντος
* Fol. 64v αὐτοῖς, οὐ πολλῷ * μᾶλλον ἐγὼ ἅτε δὴ[14] νεώτερος ὑπάρχων παρ' αὐτοὺς ὀφείλω ἀνδρωθῆναι[15] καὶ λαβεῖν δόξαν σὺν αὐτοῖς[16] στέφανον καὶ ζωὴν[17] ἄφθαρτον εἰς ζωὴν αἰώνιον; διότι, ὦ πανάθλιε[18], κἀγὼ ὁμοίως ἐν τῇ ἀληθείᾳ μου καρτερῶ[19], μὴ ποιῶν τὸ θέλημα τοῦ ἀκαθάρτου σου[20] βασιλέως· ἐχθρὸς γάρ ἐστι παντὸς ἀγαθοῦ καὶ ἀλλότριος τοῦ αἰωνίου φωτός. »

34. Ἀκούσας δὲ ὁ ἀκάθαρτος[1] τὰς ὕβρεις τοῦ βασιλέως, λίαν ἐταράχθη καὶ ἔτρεμεν[2] τῷ προσώπῳ αὐτοῦ ἀλλοιωθείς[3]. Καὶ κελεύει αὐτον ταθῆναι καὶ τείνουσιν αὐτὸν τεσσαράκοντα ἄνδρες ἰσχυροί, καὶ ἕτεροι ὁμοίως δυνατοὶ ἰσχύϊ ἔτυπτον[4] ἄνευ οἰκτιρμῶν ὡς ἐπὶ λίθον καὶ ξύλον[5] καταφέροντες τὰς μάστιγας[6]. Ὁ δὲ ἅγιος[7] ἀληθῶς γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ[8] ἐβόα φωνῇ μεγάλῃ λέγων· « Ὦ μιαρὲ καὶ ἀκάθαρτε κύον καὶ πάντων ἀνθρώπων ἀθλιώτατε[9] καὶ ταλαιπωρότατε[10], ὥσπερ[11] σὺ ἀσθενὴς καὶ χαῦνος, ὁμοίως[12] καὶ αἱ βάσανοί σου[13] οἵ τε[14] ὑπηρέται σου ἀσθενεῖς καὶ ἄνανδροι[15]. Βλέπε οὖν, εἴ που ἔχεις[16] ἄνδρας ἰσχυροτέρους[17] καὶ βασάνους πικροτέρας, φέρε ἐπ' ἐμέ, ἵνα διὰ τῆς τοῦ σώματός μου ὑπομονῆς ἡ ψυχή μου μεγαλυνθεῖσα ζωοποιηθῇ. »

8. τυγχάνης G. — 9. μιαρώτατε καὶ δυσσεβέστατε μὴ δοκιμάζων τὸ σαφές· οἱ G. — 10. οἱ προβασανισθέντες πρὸ ἐμοῦ *add.* G. — 11. οὕτως G. — 12. ἐνεκαρτέρησαν καὶ G. — 13. αἰῶνας G. — 14. ἅτε δὴ *om.* G. — 15. αὐτῶν ὀρ. ἀνδριωθῆναι G. — 16. καὶ *add.* G. — 17. κ. ζ. *om.* G. — 18. δ. ὦ π. *om.* G. — 19. ἐγκαρτερῶ G. — 20. *om.* G.

34. — 1. παρὰ τοῦ ἁγίου Ἀειθαλᾶ *add.* G. — 2. ἀλυωθεὶς *add.* G. — 3. *om.* G. — 4. αὐτὸν *add.* G. — 5. λίθου καὶ ξύλου τινὸς τὰς ἀθέους ἐκείνας G. — 6. αὐτῷ πληγὰς G. — 7. ὡς *add.* G. — 8. τυπτόμενος *add.* G. — 9. ἀθεότερε G. — 10. ταλαιπορώτερε καὶ ἀσθενὴ καὶ σαθρώτατε *add.* G. — 11. γὰρ *add.* G. — 12. εἰ οὕτως G. — 13. τυγχάνουσι ἀσθενεῖς *add.* G. — 14. δὲ G. — 15. εἰσὶν *add.* G. — 16. ἄλλους *add.* G. — 17. ἰσχυροὺς G.

non intueris et profecto animal rationis expers es et stupidum; si enim illi, qui me maiores natu sunt, tam nobili animo perseverarunt, et gloriam perennem in aeternum sortiti sunt propter mortem, quae tuis manibus eis obvenit,
* Fol. 64v nonne potius * ego, qui minor sum aetate, ab eis animo confirmari debeo et cum eis gloriam capere et coronam incorruptibilem in vitam aeternam? Quapropter, o miserrime, ego similiter in veritate mea permaneo nec facio voluntatem impuri regis tui; inimicus enim est omnis boni et alienus ab aeterna luce.

34. Cum autem impurus contumelias in regem audisset, valde turbatus est et tremuit et vultu immutatus est. Et iubet eum extendi, et extendunt eum quadraginta viri robusti, et alii pariter viribus potentes caedebant eum absque misericordia tanquam in lapidem et lignum virgas inferentes. Sanctus autem, vere ingenuus athleta Christi, clamabat voce magna dicens : O scelerate et impure canis et omnium impiissime et miserrime, sicut tu imbecillis et mollis es, ita et cruciatus tui; ministri autem tui imbecilles et effeminati sunt. Vide ergo utrum uspiam viros robustiores habeas, et tormenta acerbiora irroga in me, ut per corporis patientiam anima mea magnificata vivificetur.

35. Ἔκθαμβος δὲ γενόμενος ὁ ἀρχιμάγος τοῖς ἔγγιστα αὐτοῦ καθημένοις μεγιστᾶσιν εἶπεν[1] ὅτι· « Οἱ γόητες οὗτοι[2] οἱ χριστιανοὶ οὕτω διψῶσι τὸν θάνατον καὶ τὴν σφαγήν, ὥσπερ[3] τις ἐπιθυμῶν[4] ἄρτου καὶ ὕδατος[5]. » Λέγουσιν αὐτῷ[6]· « Τὴν διδασκαλίαν * αὐτῶν πληροῦσιν. Γέγραπται γὰρ αὐτῶν εἰς τὰς γραφάς[7] ἄλλον εἶναι[8] κόσμον[9] καὶ ζωὴν * Fol. 65 ἀτελεύτητον. » Τοῦ δὲ ἁγίου[10] πάντα τὰ μέλη ἀπεξάνθη[11] καὶ τὰ ὀστᾶ πάντα τῶν ἁρμῶν[12] αὐτοῦ διεσπάσθη[13] ἀπὸ[14] τῆς[15] ἀνάγκης καὶ[16] βίας τῶν μαστίγων καὶ τῆς τῶν τεινόντων τάσεως.

36. Ἀναβασταζόμενος δὲ ὑπὸ ἀνδρῶν δύο[1] ἔστη ἐνώπιον τοῦ ἀρχιμάγου[2], καὶ λέγει πρὸς αὐτὸν ὁ ἀρχιμάγος· « Κἂν νῦν[3] ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως καὶ κελεύω ἰατροῖς σοφοῖς καὶ ἐπιμελοῦνταί σου καὶ τάχιον ὑγιαίνεις. » Ἀποκριθεὶς δὲ ὁ ἅγιος[4] Ἀειθαλᾶς εἶπεν[5]· « Μιαρὲ καὶ ἀκάθαρτε[6], πάντων ἀνθρώπων ἀθλιώτατε[7], ἔασον ὅτι λέγεις περὶ ἰατρῶν ὑγιείας[8] λόγῳ μόνον[9]. Εἰ ἔλεγες καὶ ἔμελλον παραχρῆμα ἰαθῆναι, οὐκ ἂν ἔπεισάς με[10] χωρισθῆναι τῆς ἀγάπης τοῦ Θεοῦ μου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τῷ κτίσματι αὐτοῦ προσκυνῆσαι[11], τῷ ἡλίῳ τῷ πρὸς ὑπηρεσίαν κτισθέντι τῶν ἀνθρώπων. » Λέγει πρὸς αὐτὸν ὁ ἀσεβής· « Τί γὰρ ἔμεινεν εἰς σὲ ὑγιές; εἰ γὰρ καὶ θελήσῃς[12] ποιῆσαι τὸ θέλημα τοῦ βασιλέως, οὐ δύνασαι ζῆσαι ἀπὸ τῶν κολάσεων[13]. Καὶ

35, — 1. τί ἄρά ἐστι τοῦτο *add.* G. — 2. *om.* G. — 3. ἄρτου καὶ ὕδατος *add.* G. — 4. ἐν καιρῷ λιμοῦ ἐπιθυμεῖ G. — 5. ἄ. κ. ὕδ *om.* G. — 6. ἐκεῖνοι *add.* G. — 7. εἰς τ. γρ. αὐτῶν G. — 8. τινὰ *add.* G. — 9. μετὰ τοῦτον ἀόρατον *add.* G. — 10. τυπτωμένου *add.* G. — 11. αὐτοῦ κατεξάνθη ὡσεὶ ἔριον G. — 12. ἁρμογῶν G. — 13. ὡς σχοινία σεσημμένα διεσπάσθησαν G. — 14. ὑπὸ G. — 15. ἀφάτου *add.* G. — 16 τῆς μεγάλης *add.* G.

36. — 1. δύο ἀνδρῶν G. — 2. αὐτῶν G. — 3. Ἀειθαλᾶ *add.* G. — 4. ἀπ. ὁ μακάριος G. — 5. ἔφη πρὸς αὐτὸν G. — 6. καὶ *add.* G. — 7. ἀθλίων ἀθλιώτερε G. — 8. καὶ ὑγίας G. — 9. μόνῳ G. — 10. (εἰ-με) εἰ ἠδύνω εἰπεῖν ἵνα ἰαθῶ καὶ οὕτως ὑγιὴς καταστῶ τῷ σώματι ὡς εἴμην πρὸ τῶν βασάνων οὔτε οὕτως ἔπιθές με G. — 11. λέγω δὴ *add.* G. — 12. θελήσῃ K, κἂν γὰρ θέλῃς G. — 13. τῶν ἐπενεχθησῶν σοι *add.* G.

35. Stupore perculsus archimagus illis qui proxime eum sedebant magnatibus ait : Incantatores illi christiani ita mortem et caedem sitiunt ut ceteri panem et aquam desiderant. Dicunt ei : Doctrinam * suam perficiunt; scriptum * Fol. 65 enim est in suis scripturis alium esse mundum et vitam aeternam. Membra autem sancti dilaniata sunt et omnia compagum ossa divulsa sunt supplicio et flagrorum violentia et contentione eorum qui corpus eius distendebant.

36. Gestatus autem a duobus viris stabat coram archimago, et dixit ei archimagus : Etiam nunc facito praeceptum regis, et iubeo medicis peritis ut tui curam habeant, et velociter sanaberis. Respondens autem beatus Aeithalas dixit : Scelerate et impure et omnium hominum miserrime, omitte quod verbo solo dicis de medicorum sanitate. Etiamsi diceres me confestim sanandum, non suaderes me separari ab amore Dei mei, qui fecit caelum et terram, et eius opus adorare, solem, inquam, qui ad usum hominum creatus est. Dicit ei impius : Quid igitur remansit in te sanum? nam etiamsi velles voluntatem regis facere, vivere non posses a suppliciis. Sed nunc ego te

νῦν δὲ ἐγώ σε ποιήσω κάκιστον παράδειγμα τοῖς χριστιανοῖς, ἵνα μηδεὶς τολμήσῃ ποτὲ οὕτως ὑβρίσαι <τὸν βασιλέα[15]>. »

37. Καὶ[1] πρὸς αὐτὸν ὁ μακάριος[2]· « Ὦ τρισάθλιε, πόθεν σοι τοῦτο, ὅτιπερ μὴ θέλων προεφήτευσας; ὑπόδειγμα γὰρ γινόμεθα καλὸν[3] τοῖς χριστιανοῖς[4], ἵνα θεασάμενοι * Fol. 65r ἡμᾶς θαρρήσωσι *καὶ καταπατήσωσι τὴν ἀλογίαν[5] ὑμῶν[6]. Ὄνομα γὰρ καταλιμπάνομεν καὶ μνημόσυνον[7] κάλλιστον τῇ γενεᾷ πάσῃ[8] τῇ ἐρχομένῃ τοῦ ἀγῶνος τῆς ἀθλήσεως ἡμῶν καὶ[9] ὑπομονῆς καὶ νίκης τῆς πρεσβυτείας ἡμῶν καὶ τοῦ ἀφθάρτου στεφάνου[10], οὗ ἀποληψόμεθα μετὰ δόξης[11] ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν[12]. » Ὁ δὲ μιαρὸς καὶ ἀνόσιος[13] καλέσας Ἀδαρχώσχαρ[14] τὸν ἀρχιμάγον[15] πατρίδος Ἀδιὰβ[16] εἶπεν αὐτῷ[17]· « Ἐὰν ζῶσιν οἱ πλάνοι οὗτοι, ἀπάγαγε αὐτοὺς εἰς τὴν πόλιν σου καὶ ποίησον αὐτοὺς λιθοβοληθῆναι[18] διὰ χειρὸς τῶν χριστιανῶν. Τούτου γὰρ χάριν εἴασα[19] αὐτοὺς καὶ οὐκ ἔδωκα κατ' αὐτῶν τὴν διὰ ξίφους ἀπόφασιν[20]. »

38. Παραχρῆμα δὲ ἤγαγεν[1] δύο ζῷα καὶ λαβὼν αὐτοὺς ἔμπροσθεν αὐτοῦ ἐπέθηκεν αὐτοὺς ἐπ' αὐτά· καὶ πανταχόθεν σχοινίοις κατέσφιγγον αὐτούς, ἵνα μὴ πέσωσιν διὰ τὸ παραλελύσθαι πάντα τὰ μέλη αὐτῶν καὶ συντετρῖφθαι τὰ ὀστᾶ αὐτῶν. Φθάζοντες[2] δὲ κατὰ μονὴν οὕτως αὐτοὺς[3] ἔρριπτον ἀπὸ τῶν ζῴων διὰ τὸ μῖσος, ὃ εἶχον πρὸς αὐτοὺς οἱ μάγοι, ὥσπερ ἄν τις ῥίψῃ γόμον ξύλων[4]. Καὶ γενόμενοι[5] εἰς τὴν πόλιν

15. τ. β. G, *om.* K.

37. — 1. ἔφη G. — 2. Ἀειθαλᾶς *add.* G. — 3. καλὸν γ. πάντων G. — 4. τῶν χριστιανῶν G. — 5. ἀλαζονίαν G. — 6. ἅπασαν *add.* G. — 7. καὶ μν. κατ. G. — 8. πάσει. G. — 9. τῆς *add* G. — 10. ἡμῶν *add.* G. — 11. καὶ νικης πολλῆς *add.* G. — 12. Ἰησοῦ Χριστοῦ *add.* G. — 13. ταῦτα ἀκούσας ὁ μιαρὸς καὶ δυσσεβὴς ἀρχιμάγος G. — 14. Ἀδοσχορχὰρ G. — 15. τῆς *add.* G. — 16. Ἀδεϊὰβ K. Ἐδιὰβ G. — 17. πρὸς αὐτὸν G. — 18. ἐκεῖσε λίθοις βληθῆναι G. — 19. ἔασα G. — 20. τιμωρίαν G.

38. — 1. ὁ ἀρχιμάγος *add.* G. — 2. φθάνοντες G. — 3. ἑκάστην οὕτως αὐτὸν G. — 4. γόμου ῥίψη ξύλον G. — 5. (π. γ.) δὲ G.

ponam pessimum exemplum christianis, ut nemo unquam audeat ita regem contumeliis afficere.

37. Dixit ei beatus : O miserrime, unde tibi hoc quod etiam nolens vaticinatus es? Exemplum enim pulchrum fimus christianis, ut nos intuentes * Fol. 65r forti sint animo *et conculcent stultitiam vestram. Nomen enim et memoriam optimam omni generationi futurae relinquimus certaminis pugnae nostrae et patientiae victoriaeque senectutis nostrae, et incorruptibilis coronae quam accipiemus cum gloria in adventu Domini nostri. Scelestus autem et nefarius vocavit Adarchoschar archimagum ex patria Adiab, et dixit ei : Si vivunt impostores isti, abduc eos in tuam civitatem et fac eos lapidari per manus christianorum. Idcirco enim eos servavi nec in eos gladio animadverti iussi.

38. Statim autem egit duo iumenta, et cum illos coram se vocasset, imposuit eos super illa et undique eos funiculis constrinxit ne caderent, quia omnia eorum membra dissoluta et eorum ossa contrita erant. Cum autem ad mansionem perveniebant, ita eos a iumentis deiciebant, prae odio quod in eos

Ἀρβὴλ τῆς ἐνορίας Ἀδιὰβ[6], κατέκλεισαν αὐτοὺς ἐν τῷ σκοτεινῷ[7] δεσμωτηρίῳ[8], ἔνθα αἷμα καὶ ἀκαθαρσία πολλὴ ἦν ὑποκάτω αὐτῶν, ἀπὸ δὲ τῶν[9] πληγῶν καὶ τῶν τραυμάτων[10] ἰχὼρ πολὺς[11] κατέρρεεν· ἐκάθισέν * τε[12] φύλακας ἐν τῇ φυλακῇ[13], ἵνα μηδεὶς[14] τῶν χριστιανῶν[15] εἰσέλθῃ πρὸς αὐτούς. * Fol. 66

39. Γυνὴ δέ[1] τις μεγάλη καὶ σφόδρα χριστιανὴ ἦν ἐν τῇ πόλει ἐκείνῃ, ἧς τὸ μνημόσυνον ἐν εὐλογίαις[2]· καὶ τὸ ὄνομα αὐτῆς[3] ἐγνωρίσαμεν[4] ἐν ἑτέρῳ μαρτυρολογίῳ Ἰησδανδούχ[5], διότι ἐτίμα πάντας[6] τοὺς χριστιανοὺς καὶ πάντας[7] τοὺς διὰ[8] Χριστὸν κατακλείστους ὑπάρχοντας[9] ἔτρεφεν αὕτη[10] καὶ ἐπεμελεῖτο[11]. Ὡς οὖν ἤκουσεν[12] περὶ τῶν ἁγίων Ἰωσὴφ καὶ Ἀειθαλᾶ, ὅτι μεγάλως θλίβονται[13], ἔπεμψεν καὶ ἐκάλεσεν τὸν φύλακα[14] καὶ ἔδωκεν[15] χρυσίον ἱκανὸν παρακαλοῦσα[16] αὐτὸν ὥστε ἐᾶσαι αὐτὴν[17] ἰδεῖν αὐτούς. Ὁ δὲ μετὰ φόβου ὑπέσχετο αὐτῇ. Καὶ[18] πέμψασα τοὺς δούλους αὐτῆς νυκτός, ἤνεγκεν αὐτοὺς βασταγμῷ εἰς τὸν οἶκον[19] αὐτῆς. Ὡς δὲ ἐθεάσατο αὐτοὺς οὕτως ἀπανθρώπως[20] ἡλκωμένους, λαβοῦσα ὀθόνια καθαρὰ δι' ἑαυτῆς ἐπέδησεν τὰ τραύματα αὐτῶν[21] ἀπομάσσουσα τὸ αἷμα καὶ τὴν ἀκαθαρσίαν ἤλειφέν τε[22] τῷ λύθρῳ τῷ ἀπ' αὐτῶν[23] τὸ σῶμα

6. Ἐδεϊὰμ K, Εἰδε ἰὰβ G. — 7. ἐκεῖσε ὄντι G. — 8. τῷ λίαν σκοτεινῷ καὶ εἰς τοιοῦτον τόπον αὐτοὺς ἀπέθεντο *add.* G. — 9. ἐστρωμένη ἀπὸ δὲ τῶν G. ἀπό τε τῶν K. — 10. αὐτῶν *add.* G — 11. ἐπ' αὐτῶν *add.* G. — 12. δὲ καὶ G. — 13. ὁ δυσσεβὴς ἀρχιμάγος *add.* G. — 14. μή τις G. — 15. τὸ σύνολον *add.* G.

39. — 1. τούτων δὲ οὕτως γενομένων γυνὴ G. — 2. ἔσται *add.* G. — 3. εἰς αἰῶνα μακαρισθήσεται παρὰ Θεοῦ, ἥντινα θαυμασίαν γυναῖκα *add.* G. — 4. καὶ *add.* G. — 5. λεγομένην Εἰσδανδούχ. ἄξιον γὰρ μετὰ ἁγίων εἶναι τὸ μνημόσυνον αὐτῆς G. — 6. σφόδρα G. — 7. τοὺς ἁγίους G. — 8. τὸν *add.* G. — 9. καὶ *add.* G. — 10. αὐτοὺς ἐκ τῶν οἰκείων δαπανημάτων G. — 11. αὐτῶν ταῖς οἰκείαις χερσὶν *add.* G. — 12. αὕτη *add.* G. — 13. ὄντες ἐν τοῖς δεσμοῖς τῆς φυλακῆς *add.* G. — 14. δεσμοφύλακα G. — 15. αὐτῷ *add.* G. — 16. παρακαλέσασα G. — 17. (ὥστε -αὐτὴν) ἐπὶ τὸ G. — 18. λαβοῦσα οὖν παρ' αὐτοῦ τὴν ὑπόσχεσιν G. — 19. τὴν οἰκίαν G. — 20. ἡ ὁσία ἐκ. οὕτως G. — 21. καὶ *add.* G. — 22. (καὶ-τε) ἀλείφει G. — 23. ἐξερχομένῳ ἅπαν G.

habebant magi, quasi fascem ligni proicerent. Et cum ad urbem Arbel pervenissent, quae est intra terminos Adiab, incluserunt eos in carcere valde tenebroso, in quo sanguis et immundities magna subter eos erant strata; e plagis autem et vulneribus sanies multa defluebat. Posuit * etiam custodes in carcere ne quis christianorum ad eos ingrederetur. * Fol. 66

39. Mulier autem quaedam illustris et christiana valde in hac urbe erat, cuius memoria in benedictione; et nomen eius cognovimus ex alio martyrologio Iesdanduch, quia in honore habebat omnes christianos et omnes qui propter Christum in carcere detinebantur; et ipsa eos nutriebat eorumque curam gerebat. Ut autem de sanctis Ioseph et Aeithala audivit eos vehementer affligi, misit et vocavit custodem et dedit ei pecuniam multam, eum deprecando ut illos videre permitteret. Ille cum timore rem pollicitus est. Et mittens noctu servos suos, lectica ad suam domum devexit. Cum autem contemplata esset eos ita inhumaniter tortos, sumens linteola munda, suis manibus eorum vulnera obligavit, et cum sanguinem abstersisset et spurcitiam, liniebat corpus

αὐτῆς καὶ κατεφίλει[24] τὰς παραλελυμένας αὐτῶν χεῖρας καὶ τοὺς συντετριμμένους αὐτῶν βραχίονας. Καὶ ἐπαλείφουσα αὐτοὺς μύρῳ[25] ἔκλαιεν ὅλην τὴν νύκτα πικρῶς[26]· οὕτως γὰρ ἔκειντο οἱ ἅγιοι ἔμπροσθεν αὐτῆς ὥσπερ τινὰ[27] τῶν ἀψύχων καὶ ἀναισθήτων[28].

* Fol. 66r 40. Μόλις δὲ[1] ἀναψύξας μικρόν[2] * καὶ ἀναλαβὼν ἑαυτὸν ὁ ἅγιος Ἰωσὴφ εἶπεν αὐτῇ· « Διὰ τί οὕτω κλαίεις πικρῶς[3]; οὐ ποιεῖς[4] ὡς χριστιανὴ[5] τελεία[6]. » Ἡ δὲ[7] εἶπεν αὐτῷ· « Οὐ τοίνυν[8] δι' ὑμᾶς κλαίω, κύριέ μου· ἐμοὶ γὰρ ἄμετρος ἦν χαρά, εἰ παραχρῆμα εἶδον ὑμᾶς τελειωθέντας[9]· ἀλλὰ χάριν τούτου κλαίω καὶ στενάζω πικρῶς, διότι ὁρῶ ὑμᾶς εἰς τὰς θλίψεις ταύτας καὶ εἰς τὰς πικρὰς[10] ἀνάγκας[11]. »

41. Ἀποκριθεὶς δὲ ὁ ἅγιος[1] εἶπεν αὐτῇ[2]· « Αἱ θλίψεις αὗται καὶ αἱ ἀνάγκαι πλήρεις χαρᾶς καὶ ἀναπαύσεως[3] τυγχάνουσιν. Ὁ γὰρ σωτὴρ ἡμῶν Χριστὸς εἶπεν[4], ὅτι[5] στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Καὶ πάλιν εἶπεν· Ὁ δὲ[6] ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Καὶ ὁ μακάριος Παῦλος[7]· Τρίς, φησίν[8], ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, καὶ πάλιν[9] εἶπεν περὶ πολλῶν[10] θλιβέντων[11], ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. Καὶ σὺ οὖν ὡς πιστὴ καὶ τελεία[12] ὅταν ἴδῃς χριστιανοὺς θλιβομένους καὶ[13] ὑπομένοντας[14], χαῖρε μᾶλλον καὶ εὐχαρίστει τῷ Θεῷ[15].

24. γνησίως μετὰ πόθου πολλοῦ *add.* G. — 25. εὐτόνως *add.* G. — 26. π. ὅλ. τ. ν. G. — 27. τι G. — 28. πραγμάτων *add.* G.

40. — 1. τούτου δὲ γενομένου ὑπ' αὐτῆς μόλις G. — 2. μ. ἀν. G. — 3. π. οὕτως κλ. G. — 4. (οὐ π.) ὦ θυγάτερ τῶν ἁγίων καὶ μήτηρ ἡμῶν τῶν ταπεινῶν καὶ διὰ τί οὕτως ποιεῖς ὦ εὐσεβὴς καὶ ἐνάρετε δούλη Χριστοῦ, ὡς μὴ χρὴ ποιεῖν. τοῦτο γὰρ ποιοῦσα οὐχ G. — 5. καὶ *add.* G. — 6. οὖσα εἰς Θεὸν ποιεῖς· καὶ διὰ τί οὕτως ἀφειδῶς κλαίεις δι' ἡμᾶς ὡς ἅτε ἐπὶ πονηρῷ καὶ ἀθεμήτῳ πράγματι ἑαλωκότων ἡμῶν *add.* G. — 7. ἀποκριθεῖσα *add.* G. — 8. οὐχὶ G. — 9. ἡνίκα κρατιθέντες ταῖς βασάνοις ὑπεισήλθατε *add.* G. — 10. τηλικαύτας ἀφορήτους G. — 11. ἀκμὴν ὑπάρχοντας *add.* G.

41. — 1. Ἰωσὴφ *add.* G. — 2. πρὸς αὐτὴν G. — 3. ἡμῖν *add.* G. — 4. ἔφη G. — 5. τί K. — 6. *om.* G. — 7. δὲ ἀπόστολος λέγει G. — 8. *om.* G. — 9. πρὸς τούτοις G. — 10. ἄθλων *add.* G. — 11. ἄλλων λέγων οὕτως θλιβόμενοι κακουχούμενοι *add.* G. — 12. γυνὴ *add.* G. — 13. τὰς θλίψεις *add.* G. — 14. ἐν κυρίῳ *add.* G. — 15. κυρίῳ G.

suum eorum cruore et deosculabatur confractas eorum manus contritaque brachia. Et cum eos aromate inunxisset, flevit amare per totam noctem; sic enim iacebant sancti ante eam tanquam inanimum quid sensuque carens.

* Fol. 66r 40. Vix autem paululum recreatus * refectusque sanctus Ioseph dixit ei : Quare tam acerbe lacrimaris? Non agis ut christiana perfecta. Quae dixit ei : Non equidem propter vos fleo, domine mi; mihi enim immenso esset gaudio si statim viderem vos consummari. Sed propter hoc amare fleo gemoque, quia vos video in his cruciatibus et in acerbis suppliciis.

41. Respondens autem sanctus dixit ei : Hi cruciatus et supplicia plena gaudii et quietis sunt. Salvator enim noster Christus dixit : Arcta et angusta est via quae ducit ad vitam et pauci sunt qui inveniunt eam[1]. Et iterum dixit : Qui autem perseveraverit usque in finem, hic salvus erit[2]. Et beatus Paulus : Ter, inquit, flagellis caesus sum, semel lapidatus sum[3], et iterum dixit de multis afflictis quibus mundus non erat dignus[4]. Tu ergo cum fidelis et perfecta sis, si videas christianos afflictos et patientes, gaude potius et gratias age

1. Matth., vii, 14. — 2. Matth., x, 22. — 3. II Cor., xi, 25. — 4. Hebr., xi, 38.

ὅσον γὰρ θλίβονται, τοσοῦτον πληθύνεται[16] ὁ μισθὸς αὐτῶν καὶ ὁ στέφανος αὐτῶν[17] μεγαλύνεται. »

42. Περὶ δὲ[1] τὸ διάφαυμα[2] βαστάσαντες αὐτοὺς πάλιν ἀπήγαγον[3] ἐν τῷ δεσμωτηρίῳ, καὶ διετέλεσαν ἐκεῖ ἄλλους ἕξ μῆνας[4] ἐν σκότῳ[5] καθειργμένοι καὶ θλίψεσι μεγάλαις, ἃς οὐ μὴ δυνηθῇ[6] ἄνθρωπος διηγήσασθαι. Ἐν δὲ τῷ μεταξὺ συνέβη τὸν παραλαβόντα αὐτοὺς ἀρχιμάγον * διαδεχθῆναι καὶ ἕτερον ἀντ' αὐτοῦ γενέσθαι, ὀνόματι Ζεράθ[7], σφόδρα δεινὸν καὶ * Fol. 67
πονηρὸν μᾶλλον ἢ τὸν ἔμπροσθεν αὐτοῦ καὶ[8] πρόσταγμα ἀπηνὲς εἰληφότα[9] καὶ λίαν ἀνιαρόν[10] παρὰ τοῦ ἀνόμου βασιλέως κατὰ τῶν χριστιανῶν, περιείχετο δὲ ὥστε τοὺς χριστιανοὺς αὐτοὺς δι' ἑαυτῶν τοὺς ἰδίους αὐτῶν ἡγουμένους λιθάζειν[11].

43. Ἐγένετο δὲ ἐκεῖ τάραχος καὶ θλῖψις μεγάλη· ἔφυγον δὲ[1] πάντες οἱ χριστιανοὶ ἐλεύθεροί τε καὶ δοῦλοι καὶ ἐν τοῖς ὄρεσι κατεκρύβησαν, ἵνα μὴ ἀναγκασθῶσιν ἐκχέαι αἷμα[2] ἀθῷον· καὶ γὰρ εὐθέως ὡς ἐπέστη ὁ ἀρχιμάγος[3] τῇ πόλει[4], εἰσῆλθεν εἰς τὸν ναὸν τοῦ πυρὸς ἐπὶ τῷ προσκυνῆσαι[5]· καὶ λέγουσιν αὐτῷ οἱ ὑπηρέται τοῦ πυρός· « Εἰσὶν ἐνταῦθα δύο[6] γόητες τῶν λεγομένων χριστιανῶν κατάκλειστοι ἐν[7] δεσμοῖς[8] τρία ἥμισυ ἔτη ἔχοντες[9]· οὓς ἐπὶ πολὺ πολλάκις[10] βασανίσας Ἀδαρχώσχαρ[11] ὁ ἀρχιμάγος οὐκ ἴσχυσεν[12] χαυνῶσαι[13] εἰς

16. παρὰ τῷ Θεῷ *add.* G. — 17. πλείω *add.* G.

42. — 1. τούτων δὲ οὕτως λεχθέντων περὶ G. — 2. αὐτῷ *add.* G. — 3. οἱ αὐτοὶ παῖδες αὐτῆς ἀπήνεγκαν αὐτοὺς G. — 4. ἐγκατάκλιστοι ὄντες *add.* G. — 5. σκότει G. — 6. αἷς οὐ δύναται G. — 7. Ζερὼθ G. — 8. (μᾶλλον -καὶ) ὑπάρχοντα παρὰ τῶν πρὸ αὐτοῦ διαδεχθέντα ἀρχιμάγον· οὗτος τοίνυν ὁ πονηρὸς ἀρχιμάγος Ζερὼθ G. — 9. ἀνόσιον εἴληφε G. — 10. ἀ. λ. G. — 11. (περιείχετο-λιθάζειν) ὅπως αὐτοὶ οἱ χριστιανοὶ τοὺς ἡγουμένους αὐτῶν λιθάσωσιν G.

43. — 1. τούτου οὖν ἐξελθόντος τοῦ ἀνόμου προστάγματος, ἐγένετο ἐκεῖ τάραχος καὶ θλίψης πολλή· ἔφυγον γὰρ G. — 2. αἷμα ἐ. G. — 3. *om.* G. — 4. ὁ δυσσεβὴς οὗτος ἀρχιμάγος *add.* G. — 5. τῷ πυρὶ *add.* G. — 6. τινὲς *add.* G. — 7. τοῖς *add.* G. — 8. τῆς φυλακῆς *add.* G. — 9. ἔχοντες ἔτη G. — 10. *om.* G. — 11. Ἀδεσχορχὰρ G. — 12. ὅλως *add.* G. — 13. αὐτοὺς *add.* G.

Deo; quantum enim affliguntur, tantum augetur eorum praemium eorumque corona amplificatur.

42. Iam ad auroram, gestantes illos iterum reduxerunt in carcerem; et exegerunt ibi martyres alios sex menses, in tenebris coartati et cruciatibus magnis, quos nemo narrare valet. Interea accidit archimagum, qui eos susceperat, magistratu abire, * et alium nomine Zerath eius locum tenere, qui * Fol. 67
atrocitate et sceleribus priorem superabat, et mandatum saevum et moestissimum acceperat ab iniquo rege adversus christianos, ut scilicet ipsi christiani proprios praesules lapidibus obruerent.

43. Facta est autem ibi turbatio et afflictio magna; et fugerunt omnes christiani, tam liberi quam servi, et in montibus sese abdiderunt, ne cogerentur sanguinem innocentem effundere. Etenim statim ac archimagus in urbem advenit, exivit ad fanum ignis ad adorandum; et dicunt ei ministri ignis : Sunt hic duo impostores ex iis qui christiani dicuntur in vinculis inclusi iam tres annos et dimidium, quos, cum multum saepius cruciasset Adarchoschar

τὸ ὑπακοῦσαι τῷ προστάγματι τοῦ βασιλέως. » Ὁ δὲ ταῦτα ἀκούσας[14] παραχρῆμα κελεύει[15] ἀχθῆναι αὐτοὺς[16] ἐνώπιον αὐτοῦ. Καὶ[17] μετ' ὀργῆς[18] ἀπειλῶν ἤρξατο[19] αὐτοὺς φοβεῖν καὶ λέγειν[20]· « Ὦ λαὸς τολμητίας[21] καὶ σκληροτράχηλος, οὔπω καὶ νῦν[22] κατέπτηξεν ὑμᾶς[23] τὸ πρόσταγμα τοῦ[24] βασιλέως Σαβωρίου καὶ δεσπότου πάσης τῆς γῆς[25], ὃς ἠρήμωσε βασιλείας μεγάλας καὶ[26] κατέσχε[27] πόλεις ὀχυρὰς καὶ ὑπέταξε πατρίδας πολ-
* Fol. 67v λὰς[28] ὑπὸ τοὺς πόδας *αὐτοῦ. Ὑμεῖς τε[29] καθεζόμενοι εἰς τὴν γῆν καὶ[30] τὰς πόλεις αὐτοῦ τυραννεῖτε καὶ ἐξουθενεῖτε τὸ πρόσταγμα[31] αὐτοῦ διαπτύοντες τὸν νόμον αὐτοῦ[32]. »

44. Ἀποκριθεὶς δὲ[1] ὁ ἅγιος[2] Ἀειθαλᾶς εἶπεν πρὸς αὐτόν· « Εἰ κατὰ τοῦ βασιλέως[3] τυραννοῦμεν καὶ ἐχθροὶ αὐτοῦ, καθὼς ἐμαρτύρησας κακηγορῶν[4], τυγχάνομεν, διὰ τί οὐ παρετάξατο εἰς[5] πόλεμον καὶ μετὰ στρατείας καὶ ὅπλων ἦλθεν πολεμῆσαι καθ' ἡμῶν, ὃν τρόπον καὶ μετὰ τῶν ἄλλων βασιλέων, ὧνπερ[6] ἐμνημόνευσας[7]; ἀλλὰ σὲ τὸν ταλαίπωρον καὶ ἄνανδρον ἔπεμψεν, οὗπερ τρέμει ἡ καρδία[8] ὥσπερ φύλλον[9] σαλευόμενον[10]. Οὐδέποτε σύ, ἀνόσιε[11], ἐθεάσω πόλεμον ἐν ἐρήμῳ[12], ἀλλὰ[13] πᾶσα ἡ αἰσχύνη σου καὶ ἡ ἀργία[14] μετὰ γυναικῶν ἐν τῷ ταμείῳ ἐγένετο· διὸ καταισχύνθητι καὶ μηκέτι λαλήσῃς, ὦ κύον[15] ἀκάθαρτε· οὐκ ἦλθες γὰρ ἐνταῦθα πλανῆσαι[16] ἡμᾶς τοὺς ἐν τῇ[17] ἀληθείᾳ τοῦ Θεοῦ ἡμῶν ἑστῶτας[18] —

14. ἐκέλευσεν αὐτοὺς *add.* G. — 15. *om.* G. — 16. *om.* G. — 17. ἀχθέντων δὲ αὐτῶν G. — 18. πολλῆς *add.* G. — 19. αὐτοῖς ἤρξ. αὐτοῖς (*sic*) G. — 20. λέγει πρὸς αὐτοὺς G. — 21. τολμηρὸς G. — 22. (ο. κ. ν.) οὐ G. — 23. ἡμᾶς ἔτι G. — 24. μεγάλου καὶ φοβεροῦ G. — 25. κ. δ. π. τῆς γ. *om.* G. — 26. *om.* G. — 27. κατήσχυνε G. — 28. καὶ ἔθηκεν ἔθνη ἱκανὰ *add.* G. — 29. δὲ G. — 30. εἰς *add.* G. — 31. ἐξουδενεῖτε τοὺς νόμους G. — 32. (τ. ν. α.) τῶν βασιλικῶν αὐτοῦ προσταγμάτων G.

44. — 1. *om.* G. — 2. μακάριος G. — 3. εἰ τὸν βασιλέα σου G. — 4. (ἐμ. κ.) λέγεις σήμερον G. — 5. παρέταξεν G. — 6. ἐπολέμησεν ὧν G. — 7. πρὸς ἡμᾶς *add.* G. — 8. σου *add.* G. — 9. ὑπὸ ἀνέμου *add.* G. — 10. ὅτ' ἂν φυσίσῃ εἰς αὐτὸ *add.* G. — 11. ὦ ἀνόητε G. — 12. καὶ πῶς περὶ πολέμων λαλεῖς *add.* G. — 13. πάντοτε *add.* G — 14. σου *add.* G. — 15. λαλήσῃς κύον G. — 16. νικῆσαι G. — 17. *om.* G. — 18. ἑστηκότας G.

archimagus, non valuit eos emollire ut praecepto regis oboedirent. Quae cum audisset, statim iussit illos adduci in conspectum suum et cum ira minari coepit eisque terrorem inicere et dicere : O genus audax et obstinatum, nonne vos adhuc terruit praeceptum regis Saborii et totius orbis domini, qui regna magna vastavit, expugnavit urbes munitas et subiecit regiones multas sub
* Fol. 67v pedibus *suis? Vos autem in terra et urbibus eius commorantes spernitis nihilique facitis mandatum eius, praecepta eius despuentes.

44. Respondens autem sanctus Aeithalas dixit ei : Si regem spernimus et inimici eius, sicut conviciando testatus es, hodie sumus, quare non paravit bellum et cum copiis et armis non venit bellum nobis illaturus quo modo et aliis regibus quorum mentionem fecisti? Sed te sceleratum et effeminatum misit cuius cor tremit tanquam folium vento agitatum. Nunquam tu, impie, vidisti bellum in deserto, sed omnis ignominia et segnities tua cum mulieribus in thalamo fuit. Ideo erubesce et noli amplius loqui, canis impure; non enim huc venisti ad decipiendum nos qui in veritate Dei nostri stamus.

μὴ καλῶς σοι εἴη, — ἀλλὰ πλανῆσαι[19] τοὺς ὁμοίους σου παναθλίους[20]. Ἡμεῖς γὰρ[21] εἰς τὸν Θεὸν ἡμῶν ἔχοντες τὴν ἐλπίδα[22] ἐγκαρτεροῦμεν αὐτοῦ τῇ πίστει καὶ τῇ ἀγάπῃ[23] καὶ ὁ λόγος[24] σου ὁ πάσης πικρίας πεπληρωμένος εἰς τὰς ἀκοὰς ἡμῶν οὐκ εἰσέρχεται. »

45. Ὁ[1] ἀρχιμάγος εἶπεν[2]· « Ὦ[3] γόη[4] καὶ ἀσεβῆ, διὰ τί οὕτω[5] φλυαρεῖς καὶ ὑβρίζεις με, ἐμοῦ μακροθυμοῦντος[6], ἵνα ἐφ'[7] ἅπαξ[8] ἀπαλλαγῇς πολλῶν θλίψεων καὶ βασάνων; οὐκ ἔσται σοι[9] οὕτως[10], ἀλλὰ μακροθυμῶ[11] ἐπὶ σοὶ καὶ κατ' ὀλίγον ἀναλίσκω σε[12], καθὼς ἐπιθυμεῖ *ἡ ψυχή μου, ὥσπερ οὖν[13] καὶ ἐκελεύσθην[14]. » Ὁ ἅγιος Ἰωσὴφ[15] εἶπεν[16]· « Οἴδαμεν ὅτι, ὥσπερ ἀσπὶς βύουσα τὰ ὦτα αὐτῆς καὶ ἔσωθεν πάσης πικρίας γέμουσα, οὕτω καὶ σοῦ ἡ καρδία ὑπάρχει πλήρης[17] πικρίας καὶ δόλου[18], καὶ ὅλον τὸ σῶμά σου ἔβαψας εἰς τὸν θυμὸν[19] καὶ ὡς δράκων φθορεὺς[20] οὕτω διψᾷς τοῦ διαφθεῖραι. Λοιπὸν οὖν φανέρωσον τὸν δόλον σου[21], ὦ ταλαίπωρε, καὶ δεῖξον τὴν ἐξουσίαν σου, ὦ τύραννε, καὶ σπάσαι τὴν μάχαιράν σου[22], ὦ φονεῦ, καὶ τὸν θυμόν σου ἀνάπαυσον εἰς τὸ ἀθῷον αἷμα ἡμῶν, ὦ αἱμοπότα[23], ἵνα κατακριθῇς εἰς κρίσιν καὶ πῦρ αἰώνιον· καὶ πέμψον ἡμᾶς ἐν πλούτῳ καὶ δόξῃ[24] εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εἰς ἣν[25] ἐλπίζομεν καὶ ἐπιθυμοῦμεν εἰσελθεῖν, ἥτις καταργεῖ τὴν βασιλείαν ὑμῶν ταύτην καὶ τὴν ἐξουσίαν ὑμῶν[26] τὴν πρόσκαιρον. »

* Fol. 68

19. ἦλθες *add.* G. — 20. παναθλίως ὑπάρχοντας G. — 21. δὲ G. — 22. τὰς ἐλπίδας εἰς τὴν πίστιν καὶ τὴν ἀγάπην αὐτοῦ τὴν ἁγίαν G. — 23. (αὐτοῦ-ἀγάπῃ) *om.* G. — 24. δὲ *add.* G.

45. — 1. δὲ *add.* G. — 2. αὐτῷ *add.* G. — 3. *om.* G. — 4. ἀλάζων G. — 5. διὰ τοῦτο φησὶν τοσοῦτον G. — 6. ἐπὶ σέ *add.* G. — 7. θυμωθεὶς G. — 8. τὴν κεφαλήν σου λάβω καὶ *add.* G. — 9. δεινῶν οὐχ G. — 10. σοι ἔσται μὴ νομίσῃς *add.* G. — 11. μακροθυμήσω G. — 12. ἀναλώσω σε ταῖς βασάνοις καὶ ταῖς πληγαῖς G. — 13. ὡς G. — 14. παρὰ τοῦ βασιλέως ἀπεκρίθη *add.* G. — 15. καὶ *add.* G. — 16. αὐτῷ *add.* G. — 17. πάσης G. — 18. παντὸς *add.* G. — 19. σου τὸν κάκιστον *add.* G. — 20. διαφθορεὺς G. — 21. σου τ. δ. G. — 22. (σπάσαι-σου) σπεῦσον G. — 23. καὶ ἀναιδὴ *add.* G. — 24. δόξα G. — 25. καὶ *add.* G. — 26. *om.* G.

Ne tibi bene sit, sed decipe miseros illos similes tui. Nos enim cum in Deo nostro spem habeamus, in eius fide et amore perseveramus et sermo tuus, omnis amaritudinis plenus, in aures nostras non ingreditur.

45. Archimagus dixit : O incantator et impie, quare ita nugaris et conviciaris mihi, qui tecum mansuete ago, ut semel libereris a multis cruciatibus et tormentis? Non sic tibi erit; sed patienter feram te et sensim destruam te, prout cupit *anima mea et etiam iniunctum mihi est. Sanctus Ioseph dixit : Scimus sicut aspidem aures eius obturantem[1], et intrinsecus omnis amaritudinis plenam, ita et cor tuum amaritudinis et doli plenum esse, et totum corpus tuum te immersisse in iram, et tanquam draconem pestilentem te sitire corruptionem. Ceterum manifestum fac dolum tuum, o miser, et ostende potentiam tuam, o tyranne, et gladium tuum stringe, o homicida, et iram animi tui in sanguine innoxio nostro satia, o sanguinis potor, ut condemneris iudicio ignis aeterni; et mitte nos in divitiis et gloria ad regnum coelorum, in quod speramus et desideramus ingredi, et quod regnum vestrum et potentiam momentaneam dissipabit.

* Fol. 68

1. Psalm. LVII, 5.

46. Τότε λίαν θυμωθεὶς ὁ ἀσεβὴς ἐκέλευσεν κρεμασθῆναι αὐτὸν κατακέφαλα ἐξ ἄκρων ποδῶν καὶ τοῖς ὠμοῖς δέρμασι τύπτεσθαι κατὰ τῶν πρώτων πληγῶν καὶ τραυμάτων. Καὶ ἐπὶ τοσοῦτον αὐτὸν ἐμάστιξαν, ἕως ἀπὸ παντὸς τοῦ σώματος αὐτοῦ τὸ αἷμα ὡς ἀπὸ πηγῆς κατέρρεεν. Ἔκλαιεν δὲ τὸ περιεστὼς πλῆθος διὰ τὰς θλίψεις καὶ βασάνους τοῦ τιμίου τούτου πρεσβύτου. Οἱ δὲ μάγοι ἔλεγον λεληθότως τῷ ἁγίῳ· « Ἐὰν αἰσχύνῃ διὰ τὸ περιεστὼς
* Fol. 68v πλῆθος προσκυνῆσαι[1], εἰσφέρομέν σε εἰς τὸν * ναὸν τοῦ πυρός· κἀκεῖ προσκύνησον, ἵνα ῥυσθῇς ἀπὸ τῶν ἀναγκῶν τούτων. »

47. Ὁ δὲ μακάριος Ἰωσὴφ ἐφ' ὅσον ἴσχυεν ὡμολόγησεν[1] καὶ εἶπεν· « Ἀπόστητε ἀπ' ἐμοῦ, μιαρώτατοι καὶ ἐργάται τῆς ἀνομίας, ἀπελθόντες εἰς τὸ πῦρ τὸ αἰώνιον· ἐκεῖ καὶ μὴ βουλόμενοι ὥσπερ ξύλα καιόμενοι θρέψετε τὸ πῦρ, ᾧ νῦν τὸ σέβας προσφέρετε. Αὐτὸ γὰρ εὖ ἴσθι τιμωρήσεται ὑμᾶς ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως. » Ἦν δὲ ὁ ἅγιος κρεμάμενος καὶ τιμωρούμενος κατὰ κεφαλῆς ἕως ὡρῶν τριῶν καὶ χαίρων ἐπὶ τούτοις ἐκαρτέρει. Κελεύσας δὲ αὐτὸν κατενεχθῆναι, φησὶ πρὸς αὐτόν· « Κἂν νῦν πείθῃ ζῆσαι ἐκτελῶν τὸ πρόσταγμα τοῦ βασιλέως, ὦ φλύαρε; » Ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν· « Τοιαύτην ζωὴν μηδέποτε ζήσω. » Ὁ ἀρχιμάγος εἶπεν· « Ἐὰν δῶ σοι θάνατον, ἡδέως λαμβάνεις; » Ἀποκρίνεται ὁ μακάριος· « Ὁ παρὰ σοῦ θάνατος ἐμοὶ καὶ τοῖς εὖ φρονοῦσιν[2] ζωὴ αἰώνιός ἐστιν, ἡ δὲ παρὰ σοῦ[3] ζωὴ θάνατος αἰώνιος ὑπάρχει. »

46. — 1. τὸν περιεστῶτα ὄχλον G.
47. — 1. λαλῆσαι μεγάλως ἔκραξεν G. — 2. εὐφρονοῦντας G. — 3. σοί G.

46. Tunc vehementer incensus impius iussit eum capite inverso suspendi per extremos pedes et crudis coriis in primas plagas et vulnera caedi. Et in tantum eum flagellaverunt ut ab omni corpore eius tanquam a fonte sanguis deflueret. Lugebat autem adstans multitudo propter augustias et tormenta venerandi senis. Magi vero furtim dicebant sancto : Si adorare
* Fol. 68v erubescis propter circumstantem turbam, inducimus te in *fanum ignis et ibi adora ut ex istis suppliciis eripiaris.

47. Beatus autem Ioseph quantum valebat confessus est et dixit : Recedite a me, sceleratissimi et operarii iniquitatis, discedentes in ignem aeternum; ibi etiam inviti velut ligna urentes, ignem, cui nunc reverentiam adhibetis aletis; ab ipso enim bene sciatis vos puniendos esse in tempore retributionis. Erat autem sanctus suspensus et castigatus capite inverso per tres horas, et gaudens in his perseverabat. Cum autem iussisset eum deponi, dixit ei : Saltem nunc persuadearis vivere exsequendo praeceptum regis, o vane. Respondens vero sanctus dixit : Talem vitam nunquam vivam. Archimagus dixit : Si tibi mortem intulero, an libenter accipies? Respondet beatus : Mors a te inflicta mihi et recto sapientibus vita aeterna est; vita autem a te data mors aeterna est.

48. Λέγει ὁ ἀρχιμάγος· « Ἰδοὺ τέως τὸ σῶμά σου διαφθείρεται[1] ἀπὸ τῆς ζωῆς· ἡ δὲ ψυχή σου βραχέα ἀναπνέει εἰς σέ, ἥντινα εἰς τὰς ἑτέρας βασάνους ἀποκτενῶ. » Καὶ πρὸς αὐτὸν ὁ μακάριος· « Ψυχῆς ἐξουσία σοι οὐ δέδοται, ὥστε ἀπολέσαι αὐτήν, μή σοι καλῶς εἴη· γέγραπται γάρ[2] ἡμῖν· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀπολέσαι, φοβήθητε[3] δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι *ἐν γεέννῃ. Καὶ σὺ μὲν διέφθειρας[4] τὸ σῶμα τοῦτο τῇ ἐξουσίᾳ σου τῇ καταργουμένῃ· τὴν δὲ ψυχὴν οὐ δυνήσῃ συμποδίσαι ἀποστῆναι τῆς ἐλπίδος αὐτῆς καὶ τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς, ἔνθα τετήρηται ὑμῖν τοῖς ἀσεβέσι πῦρ ἄσβεστον, κλαυθμὸς καὶ βρυγμὸς ὀδόντων εἰς αἰῶνα αἰῶνος[5]. » * Fol. 69

49. Ὁ δὲ ἀσεβὴς μυκτηρίζων αὐτὸν[1] εἶπεν· « Εἰ οὕτως ἐστὶν ἐκεῖσε, καθὼς λέγεις, ἐμοὶ χάριτας ὀφείλεις ἔχειν. » Ὁ[2] μακάριος ἔφη· « Ὁ κύριος ἡμῶν καὶ δεσπότης ὁ[3] φιλάνθρωπος Χριστὸς ἐνετείλατο ἡμῖν, ἵνα περὶ τῶν ἐχθρῶν ἡμῶν εὐχώμεθα καὶ εὐλογῶμεν[4] τοὺς καταρωμένους ἡμῖν καὶ[5] ἀγαπῶμεν τοὺς μισοῦντας ἡμᾶς καὶ καλῶς ποιῶμεν τοῖς διώκουσιν[6] ἡμᾶς. » Ὁ δὲ ἀνόσιος ἔφη γελάσας· « Τοιγαροῦν ἐκεῖ πολλά μοι ἀγαθὰ χρεωστεῖς ὑπὲρ ὧν ἐνταῦθα πολλά σοι[7] κακὰ ἐνδείκνυμι. » Καὶ ὁ ἅγιος πρὸς αὐτόν· « Οὐχ οὕτως ὡς[8] ὑπέλαβες, πανάθλιε· ἐν γὰρ τῷ κόσμῳ ἐκείνῳ οὐχ οἷόν τέ τινι ποιῆσαι ἔλεος μετὰ τοῦ ἑταίρου ἢ ἀδελφοῦ αὐτοῦ· ἀλλ' ἐν τῷ κόσμῳ τούτῳ, ὡς[9] οἷός τέ εἰμι, εὔχομαι, ἵνα ἀποστῇς

48. — 1. διέφθαρται G. — 2. ἐν *add*. G. — 3. φοβεῖσθαι G. — 4. διέφθειρα G. — 5. αἰῶνας αἰώνων G.
49. — 1. αὐτῷ G. — 2. δὲ *add*. G. — 3. *om*. G. — 4. εὐλογοῦμεν K, εὐχόμεθα καὶ εὐλογοῦμεν G. — 5. γίνωσκε μὲν ὡς G. — 6. τοὺς διώκοντας G. — 7. μοι G. — 8. *om*. G. — 9. *om*. G.

48. Dixit archimagus : Vide quantum corpus tuum a vita corrumpatur, anima autem tua in te vix respirat, et eam aliis tormentis interficiam. Dixit ei beatus : Potentia tibi data non est animam perimendi; noli bono animo esse; scriptum enim nobis est : Ne timeatis eos qui occidunt corpus, animam autem non possunt occidere; sed timete magis eum qui potest animam et corpus perdere *in gehenna[1]. Et tu quidem interfecisti corpus hoc vana tna potentia, animam autem non poteris vincire ut ei eripias spem hanc resurrectionis et vitae aeternae, ubi reservantur vobis impiis ignis inextinguibilis, fletus et stridor dentium in saecula saeculorum. * Fol. 69

49. Impius autem deridens eum dixit : Si ita res est illic sicut dicis, mihi gratias referre debes. Beatus autem ait : Dominus noster et benignus magister Christus maudavit nobis ut oremus pro inimicis nostris, benedicamus maledicentibus nobis, amemus eos qui nos odio habent et benefaciamus illis qui persequuntur nos[2]. Impius autem ridens dixit : Igitur multa mihi illic bona debes pro malis multis quae tibi hic praebeo. Dixit ei sanctus : Non sicut coniecisti, miserrime; in illo enim mundo fieri non potest ut quis misericors sit in socinm vel fratrem suum; sed in hoc mundo, quantum possum oro ut desistas ab errore isto et agnoscas verum et viventem Deum qui

1. Matth., x, 28. — 2. Matth., v, 44.

τῆς πλάνης ταύτης καὶ ἐπιγνῷς τὸν ἀληθῆ καὶ ζῶντα Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν πιστεύσῃς τε εἰς αὐτὸν ἐν ὅλῃ καρδίᾳ σου· ἐὰν γὰρ τούτῳ[10] πιστεύσῃς ἐλεήσει σε διὰ τὴν αὐτοῦ ἀγαθότητα καὶ συγχωρήσει σοι πάντα τὰ ἁμαρτήματά σου. »

* Fol. 69r 50. Λέγει πρὸς αὐτὸν ὁ ἀσεβής· « Τέως ἔασον ταῦτα· καὶ ἀπελθὼν ἐκεῖ ἐκείνῳ *προσομίλει αὐτὰ τῷ κόσμῳ, ἔνθα προσδοκᾷς ἀπιέναι. Ἐὰν δὲ μὴ ποιήσῃς τὸ πρόσταγμα τοῦ βασιλέως, σὺν μεγάλῃ θλίψει πέμπω σε ἐκεῖ. » Λέγει ὁ μακάριος πρὸς αὐτόν· « Ἡ ἐμὴ ἐπιθυμία αὕτη ἐστίν, ἵνα τάχιον πέμψῃς με[1] ἐκεῖσε· διὸ καὶ ταῦτα ὑπομένω πάσχων παρὰ σοῦ. » Ἔφη πρὸς αὐτὸν ὁ ἀρχιμάγος· « Οὐ ποιῶ τοῦτο ὃ ποθεῖς. ἀλλὰ διὰ τῶν ποικίλων αἰκισμῶν, ὧνπερ ἐπάγω σοι, φοβῶ πάντας τοὺς χριστιανούς. » Ἀπεκρίθη ὁ ἅγιος καὶ εἶπεν· « Εἰς τοὺς αἰκισμοὺς καὶ τὰς ἀνάγκας, ἅσπερ ἐπήγαγόν μοι οἱ πρὸ σοῦ καὶ σὺ[2] αὐτός, διὰ τὴν χάριν τοῦ Θεοῦ μου τέλειος ηὑρέθην· καὶ ἕτερα οὖν δεινά, ὅσα ἂν ἐπαγάγῃς μοι[3] τῇ σεαυτοῦ[4] πικρίᾳ καὶ ὠμότητι, ἔχω τὸν ἐνισχύοντά με Θεὸν τὸν παρέχοντά μοι καρτερίαν καὶ ὑπομονήν. Ὅσοι δὲ τῶν χριστιανῶν καθορῶσι τὸ γῆράς μου ταῦτα πάσχον[5], ὑπόδειγμα λαμβάνουσι μέγιστον ἐνδυναμούμενοι τοῦ καταπατεῖν καὶ διαπτύειν τὸν τῦφον καὶ τὴν ἀλαζονίαν σου, ἥνπερ ἐγὼ ἐνίκησα[6] καὶ κατεπάτησα[7] ἐν τῷ γήρᾳ[8] μου διὰ τῆς δυνάμεως τοῦ Θεοῦ τοῦ ἐνισχύσαντός[9] με[10]· οὗπερ ἐμμένων τῇ πίστει οὐ παρέσχον σοι τὴν ἐπιθυμίαν μου[11] οὔτε μὴ παρέξω ἕως τῆς τελευτῆς μου. » Τότε

10. αὐτῷ G.

50. — 1. με π. G. — 2. σοι G. — 3. με G. — 4. ἑαυτοῦ G. — 5. πάσχωντα K, πάσχοντα G. — 6. νικῆσαι G. — 7. καταπατῆσαι G. — 8. γήρι G. — 9. ἐνισχύοντος G. — 10. σπουδάσω *add.* G. — 11. *ita* K, G, *forsan legendum* σου.

fecit caelum et terram, in eumque credas ex toto corde tuo; si enim in eum credideris, miserebitur tui propter suam bonitatem et dimittet tibi omnia peccata tua.

* Fol. 69r 50. Dicit ei impius: Interea haec sine; et cum illuc abieris, *tracta haec in mundo in quem exspectas abire. Si vero non obtemperas praecepto regis, magna afflictione illuc te mittam. Dicit ei beatus : Hoc meum desiderium est ut citius me mittas illuc; ideo et ista sustineo quae a te patior. Ait ei archimagus : Non facio quod cupis, sed diversis suppliciis, quae tibi infero, omnes christianos terreo. Respondit sanctus et dixit : Ad sustinendas contumelias et supplicia, quae mihi intulerunt qui te praecesserunt et tu ipse, per gratiam Dei mei perfectus inventus sum; ad alia vero dira quaecumque in me invehas in acerbitate et crudelitate tua, Deum qui me corroboret mihique patientiam et constantiam praebeat, habeo. Quicumque enim christiani senectutem meam haec patientem contemplantur, exemplo corroborantur optimo ut conculcent et despuant iactantiam et arrogantiam tuam, quam ego vici et conculcavi in senectute mea per potentiam Dei, qui me confortat; cuius in fide perseverans non tribui tibi desiderium meum neque tribuam usque ad finem meum. Tunc praecepit sceleratus eum a praesentia sua

προσέταξεν ὁ μιαρὸς ἆραι αὐτὸν ἐκ τῶν ἔμπροσθεν αὐτοῦ· καὶ βαστάσαντες αὐτὸν διὰ τὸ μὴ δύνασθαι *βαδίζειν, ἔρριψαν εἰσενέγκαντες ἐν τῷ δεσμωτηρίῳ. * Fol. 70

51. Μετὰ δὲ τοῦτον εἰσηνέχθη ὁ ἅγιος Ἀειθαλᾶς, καί φησι πρὸς αὐτόν· « Λέγε μοι σύ[1]· ἔτι εἰς τὸν τυραννικὸν λογισμὸν ἐνίστασαι καὶ οὐ πείθῃ σὺν ἡμῖν προσκυνῆσαι τῷ ἡλίῳ, ἵνα ζήσῃς; » Ἀπεκρίθη αὐτῷ· « Ζῇ μου ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, εἰς ὃν μετὰ ἀληθείας ἤλπικα· μᾶλλον ἐγὼ εἰς τοῦτον ἵσταμαι τὸν τυραννικόν, ὡς ἔφης, λογισμὸν καὶ τὸν πάντων κτίστην οὐκ ἀνταλλάσσω εἰς τὸ κτίσμα αὐτοῦ· οὔτε δίδωμι τὴν προσκύνησιν τοῦ ποιητοῦ τῶν ὅλων τοῖς ἔργοις αὐτοῦ. » Ὡς δὲ ταῦτα ἤκουσεν, παραχρῆμα ἐκέλευσεν καὶ αὐτὸν κατακέφαλα κρεμασθῆναι ἐξ ἄκρων[2] ποδῶν καὶ βασανίζεσθαι εὐτόνως. Βασανιζόμενος δὲ ἔκραζεν ὁ μακάριος[3] καὶ ἔλεγεν[4]· « Χριστιανός εἰμι, χριστιανός εἰμι[5], καὶ πᾶς ἄνθρωπος ἀκουέτω, ὅτι χριστιανός εἰμι[6] καὶ διὰ τὸν Χριστὸν ταῦτα πάσχω. »

52. Μανιχαῖος δέ τις ἦν ἐκεῖ δεδεμένος· ὃν ἐκέλευσεν ἀχθῆναι ἐνώπιον αὐτοῦ, καὶ τὸν ἅγιον Ἀειθαλᾶν ἐκέλευσεν κατενεχθῆναι, ὅπως ἴδῃ τὸν Μανιχαῖον ἀρνούμενον τὴν πίστιν ἑαυτοῦ[1]· καὶ ἠνάγκαζον αὐτὸν ἀρνήσασθαι καὶ θῦσαι. Καὶ παρὰ[2] τὴν ἀρχὴν ἀντέλεγεν. Κελεύει δὲ αὐτὸν εὐτόνως μαστίζεσθαι. Ἐπ' ὀλίγον[3] οὖν ἀντισχὼν ἔκραξεν[4] λέγων· « Ἀνάθεμα Μάνῃ καὶ τῇ πίστει αὐτοῦ καὶ πάσῃ τῇ διδαχῇ αὐτοῦ. » Παρευθὺ δὲ ἤνεγκαν αὐτῷ *μύρμηκα, ἵνα φονεύσῃ αὐτόν. Οἱ γὰρ Μανιχαῖοι τὸν μύρμηκα θεὸν εἶναι λέγουσιν *Fol. 70v

51. — 1. σοι G. — 2. G. σὺν ἄκροις K. — 3. ὁ μ. ἔκραξεν G. — 4. K. ἐλ. *om.* G. — 5. *semel tantum* G. — 6. (καὶ-εἰμι) *om.* G.

52. — 1. αὐτοῦ G. — 2. παρὰ δὲ G. — 3. ἐπὶ ὀλίγον G. — 4. ἔκραζε G.

abduci; et portantes eum, quia incedere *non valebat, intulerunt detruseruntque in carcerem. * Fol.70

51. Post eum vero introductus est sanctus Aeithalas, et ait illi: Dic mihi tu, utrum in hoc factioso consilio persistas nec persuadearis nobiscum solem adorare ut vivas. Respondit ei : Vivat Christus meus, filius Dei viventis, in quo cum veritate speravi; potius in hoc persisto factioso, ut dicis, consilio, nec omnium conditorem commuto cum creatura eius nec operibus suis adorationem, creatori omnium debitam, tribuo. Ut autem haec audivit, statim iussit et eum capite inverso suspendi per extremos pedes et acriter flagellari. Dum autem flagellabatur beatus clamabat dicens : Christianus sum, christianus sum, et omnis homo audiat me christianum esse, et propter Christum haec pati.

52. Manichaeus quidam ibi in vinculis erat, quem iussit coram se duci, et sanctum Aeithalam iussit deponi ut Manichaeum videret suam fidem negantem. Et coegerunt eum abnegare et sacrificare. Primo quidem recusabat. Iubetur autem acriter virgis caedi. Cum paulisper sustinuisset, clamavit dicens : Vae Mani eiusque fidei et omni eius doctrinae. Illico autem attulerunt *formicam, ut eam occideret. Manichaei enim formicam deum esse * Fol.70v

σέβονταί τε αὐτόν. Ὁ δὲ Μανιχαῖος εὐθέως ἀπέκτεινεν αὐτόν. Ὡς δὲ εἶδεν ταῦτα αὐτὸν ποιήσαντα ὁ ἅγιος, ἠλλοιώθη τῷ προσώπῳ αὐτοῦ ἀπὸ τῆς χαρᾶς καὶ ἐγένετο ὥσπερ ῥόδον. Μὴ δυνάμενος δὲ στῆναι, ἐκάθισεν· οἱ γὰρ βραχίονες αὐτοῦ ἤρτηντο τῶν ὤμων αὐτοῦ ὥσπερ χειρίδια ἱματίου. Καὶ σκιρτήσας φωνῇ μεγάλῃ λέγει· « Ἐταλαιπώρησε Μάνης καὶ ἀπέκτεινεν τὸν θεὸν αὐτοῦ. Μακάριος δέ εἰμι ἐγὼ καὶ τρισμακάριος, ὅτι ἐνίκησα διὰ τοῦ Χριστοῦ μου τοῦ υἱοῦ Θεοῦ τοῦ ὑψίστου, ὃς ὑπάρχει πρὸ τῶν αἰώνων καὶ εἰς τοὺς αἰῶνας αὐτός ἐστιν. »

53. Ἀκούσας δὲ ταῦτα ὁ δυσσεβὴς ἠλλοιώθη ἀπὸ τοῦ θυμοῦ καὶ κελεύει αὐτὸν μαστίζεσθαι ῥοῶν ῥάβδοις. Ἐπὶ τοσοῦτον δὲ[1] αὐτὸν ἐμάστιξαν, ἕως ὅτε ἑαυτὸν γνῶναι οὐκ ἠδύνατο. Καὶ σύραντες αὐτὸν ἔρριψαν ἐκ τοῦ σύνεγγυς ἐν ἑτέρῳ τόπῳ. Καταμαθών δέ τις γυμνωθέντα τὸν μακάριον, ἔπαθεν ὡς ἄνθρωπος σπλαγχνισθεὶς καὶ λαβὼν τὸ ἑαυτοῦ σαγίον[2] ἐσκέπασεν αὐτόν. Οἱ δὲ ἀκάθαρτοι ἑταῖροι αὐτοῦ μάγοι θεασάμενοι αὐτόν, κατηγόρησαν αὐτοῦ ἐπὶ τοῦ ἀρχιμάγου· καὶ κελεύει αὐτὸν ἐκταθῆναι εἰς μάστιγας καὶ λαμβάνει εἰς[3] διακοσίους ῥάβδους, ὡς τοῦ λοιποῦ μήτε ἑαυτὸν γινώσκειν· ἔνι ὅτε διὰ τοῦτο ὁ μάγος
* Fol. 71 οὗτος λαμβάνει κἂν μίαν * σταγόνα οἰκτιρμοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· τὸν δὲ ἅγιον βαστάσαντες εἰσήνεγκαν καὶ ἔρριψαν εἰς τὴν εἱρκτὴν πρὸς τὸν ἑταῖρον αὐτοῦ.

54. Μαθὼν δὲ ὁ ἀρχιμάγος, ὅτι Σαβώριος[1], εἷς τῶν ἀρχόντων παρεγένετο εἰς τὴν κώμην αὐτοῦ τὴν λεγομένην Μακελλαρίαν — καλῶς γὰρ ἐπωνομάσθη Μακελλαρία· οἱ γὰρ

53. — 1. τε G. — 2. σαγεῖν K. — 3. *om.* G.
54. — 1. Σαβώρις K.

dicunt eamque colunt. Manichaeus autem statim eam occidit. Ut autem sanctus eum haec facientem vidit, vultus eius mutatus est prae gaudio et factus est tanquam rosa. Cum autem stare non posset, sedit; nam brachia eius ab umeris dependebant tanquam manicae vestimenti. Et saliens dicit voce magna : Afflixit Manem et occidit deum suum. Beatus autem ego sum terque beatus, quod vicerim per Christum meum, filium Dei altissimi, qui est ante saecula et ipse in saecula est.

53. Cum vero haec audisset impius, mutatus est prae ira; et iubet eum virgis malorum punicarum caedi. In tantum vero eum flagellaverunt, ut eum animus relinqueret. Quem trahentes detruserunt ex vicino in alium locum. Cum aliquis animadvertisset beatum nudum esse, dolore tactus est tanquam homo misericordia motus, et accepto proprio pallio operuit eum. Impuri autem socii eius magi ut eum viderunt, coram archimago accusarunt; et iubet eum distendi ut flagelletur; et accepit ducentas circiter plagas, ita ut ceterum animo linqueretur. Fieri autem potest ut propter hoc magus ille unam
* Fol. 71 etiam * guttam misericordiae illa die acceperit. Sanctum vero deportantes induxerunt detruseruntque in carcerem ad socium suum.

54. Cum autem audivisset archimagus Saborium unum ex praefectis advenisse in suum pagum, qui dicitur Macellaria — egregie vero nominatus

ἄρχοντες αὐτῆς[2] χείρους ὑπῆρχον τῶν μακελλαρίων — ἔλαβεν αὐτοὺς καὶ ἐκόμισεν πρὸς αὐτόν. Ἰδὼν δὲ αὐτοὺς ὁ ἄρχων ἔφη· « Φάγετε αἷμα καὶ προσκυνήσατε τῷ ἡλίῳ καὶ ἀπολύω ὑμᾶς, ἵνα μὴ ἀποθάνητε· φείδομαι γὰρ τοῦ γήρους ὑμῶν. » Οἱ δὲ ἅγιοι μιᾷ φωνῇ εἶπαν πρὸς αὐτόν· « Σὺ φάγε αἷμα, κύον αἱμοπότα, ὅτι καὶ φανερῶς καὶ κρυπτῶς αὐτά σού ἐστιν τὰ ἔργα. » Ὁ δὲ πικρῶς ἐπέκειτο αὐτοῖς τοῦτο ποιῆσαι. Μὴ θελόντων δὲ αὐτῶν ὑπακοῦσαι, ἐκέλευσεν αὐτοὺς μαστίζεσθαι.

55. Τινὲς δὲ τῶν περιεστώτων, φειδόμενοι αὐτῶν, ἔλεγον λαθραίως πρὸς αὐτούς· « Θέλετε φέρωμεν ὑμῖν ἕψημα εἰς τύπον αἵματος; καὶ πίνετε ἔμπροσθεν αὐτοῦ καὶ οὐκ ἀποθνήσκετε εἰς τὰς ἀνάγκας ταύτας; » Ἐβόων δὲ οἱ ἅγιοι λέγοντες· « Μὴ γένοιτο ἡμῖν μιᾶναι τὸ γῆρας ἡμῶν καὶ καλύψαι τὴν πίστιν ἡμῶν καὶ τὴν ἀλήθειαν ἕνεκεν ἀνθρώπων ἀνόμων καὶ παραπικραινόντων. » Καὶ πάλιν ἐκέλευσεν αὐτοὺς μαστίζεσθαι πρὸς σαράκοντα[1] καὶ λέγει αὐτοῖς· « Κελεύω ἐνεχθῆναι κρέας καθαρὸν οὐχὶ πνικτὸν ἢ[2] εἰδωλόθυτον * καὶ φάγετε καὶ ἀπολύω ὑμᾶς. » Εἶπον αὐτῷ οἱ ἅγιοι· « Καὶ ἔστιν καθαρόν τι ἐκ τῶν χειρῶν σου τῶν ἀκαθάρτων; καὶ ὅλως τὸν λόγον σου ἀκοῦσαι πλῆρες[3] ἀνομίας ἐστίν· καὶ πάντα δὲ ὅσα λέγεις ἡμῖν περισσά ἐστιν. Δὸς συντόμως τὴν ἀπόφασιν περὶ τοῦ θανάτου ἡμῶν. » * Fol. 71v

56. Καὶ ἐποίησαν ἀμφότεροι συμβούλιον, ὅ τε ἄρχων καὶ οἱ ἀρχιμάγοι, συνάξαι χριστιανοὺς ἄνδρας τε καὶ γυναῖκας ἐλευθέρας, ἵνα λίθοις βάλωσιν ἕνα τῶν ἁγίων ἐκεῖ.

2. *om.* G.
55. — 1. σαράντα G. — 2. *om.* G. — 3. πλήρις G, πλήρης K.

est Macellaria, praefecti enim optimi lanionum erant, — accepit illos et adduxit ad eum. Videns autem eos praefectus dixit : Comedite sanguinem et adorate solem, et vos dimitto ne moriamini; parco enim senectuti vestrae. Sancti autem una voce dixerunt ei : Tu sanguinem comede, canis sanguinis potor, quia et manifeste et occulte haec sunt opera tua. Ille presse instabat eis ut hoc facerent. Cum autem nollent obtemperare iussit eos virgis caedi.

55. Quidam autem circumstantium misericordia moti, furtim eis dicebant : Vultisne ut vobis afferamus sapam ad formam sanguinis, et bibatis coram ipso nec moriamini suppliciis istis? Clamabant autem sancti dicentes : Absit ut nostram senectutem foedemus nostramque fidem celemus et veritatem, propter homines iniquos qui nos exacerbant. Et iterum iussit eos virgis caedi ad quadraginta et dicit eis : Iubeo afferri carnem puram non suffocatam vel idolis immolatam; * hanc comedite et vos absolvam. Dixerunt ei sancti : Num exivit purum quid ex tuis manibus impuris? Et audire tuos sermones iniquitatis iam plenum est. Et omnia quaecumque dicis nobis supervacanea sunt; paucis dic sententiam mortis nostrae. * Fol. 71v

56. Et inierunt consilium praefectus et archimagi ut christianos viros mulieresque liberas congregarent ad ibidem obruendum lapidibus unum ex

Κελεύουσιν οὖν ἀχθῆναι ἀπὸ τῆς πόλεως καὶ τῶν πέριξ χωρίων· καὶ ἤχθησαν ἱκανοί. Ἠνάγκασαν οὖν αὐτοὺς τοῦ ἐξαμαρτεῖν καὶ αἷμα ἐκχέαι ἀθῷον. Κατεσχέθη δὲ καὶ ἡ θαυμασία[1] γυνὴ Ἰησδανδούχ[2]· καὶ κρατοῦσι τὸν μακάριον Ἰωσὴφ καὶ ἱστῶσιν αὐτὸν ὀρθὸν ἐν μέσῳ πάντων μὴ ἔχοντα εἰδέαν ἀνθρώπου. Κατείχετο δὲ ὑπὸ δύο, ἵνα μὴ πέσῃ, καὶ διανεύει τῷ ἀρχιμάγῳ ἐλθεῖν πρὸς αὐτόν.

33. — 1. B. *om.* D, L, N, Q. — 2. *om.* D, L. — 3. ταῦτα δὲ Q. *om.* D. L. — 4. προσήχθη Q, προσήχθη δὲ D, L. — 5. ἔφη τε (καὶ λέγει Q) πρὸς αὐτὸν ὁ ἀσεβὴς D, L. Q. — 6. καὶ *add.* D. L, Q. — 7. θέλημα D. — 8. *om.* Q. — 9. τῷ Q. — 10. *om.* Q. — 11. ὁ δὲ Q. — 12. ἔφη D. L. Q. — 13. τυγχάνων *add.* D, L. — 14. *om.* D, L, Q. — 15. *om.* Q. — 16. *om.* B. — 17. οὗτοι Q. — 18. ἐγκαρτερήσαν N. — 19. αἰῶνα Q. — 20. *om.* B, D, L. Q. — 21. *om.* B. — 22. σου B, D, L, Q. — 23. πολὺ L. — 24. D. αὐτοῖς B, N, L. Q. — 25. ἀνδρωθῆναι L. ἀνδρυνθῆναι Q. — 26. αὐτῶν Q. — 27. ἀφθαρσίας D. — 28. καρτερῶ D. L. Q. — 29. ἀ. κ. *om.* D, L. Q. — 30. *om.* D. L.

34. — 1. π. κ. *om.* D. L, Q. — 2. αὐτοῦ *corr. rec.* L. — 3. τανθῆναι Q. — 4. αὐτὸν τ. D, L, Q. — 5. δέκα Q. — 6. ὡς L. ὁμοίως D, Q. — 7. ἰσχύει *add.* D, L, ἐν ἰσχ. Q. — 8. ξύλων L. — 9. *om.* Q. — 10. ἀληθῶς *add.* D. L. Q. — 11. ἀθλητὴς *add.* D. L. Q. — 12. *om.* D, L. Q. — 13. καὶ ἀ. καὶ σ. *om.* D, L. Q. — 14. *om.* D, L. Q. — 15. *om.* D. L.

αἱ βάσανοί σου οἵ τε[16] ὑπηρέται σου ἀσθενεῖς καὶ ἄνανδροι· βλέπε οὖν[17], εἴ που ἔχεις ἄνδρας ἰσχυρούς, καὶ βασάνους πικροτέρας φέρε ἐπ' ἐμέ, ἵνα διὰ τῆς τοῦ σώματός μου ὑπομονῆς ἡ ψυχή μου[18] μεγαλυνθεῖσα ζωοποιηθῇ[19]. »

35. Ταῦτα ἀκούσας ὁ ἀρχιμάγος καὶ ἔκθαμβος γενόμενος[1], τοῖς ἔγγιστα αὐτοῦ καθημένοις εἶπεν μεγιστᾶσιν[2]· « Τί ἄρα ἔστιν τοῦτο, ὅτι οἱ γόητες οὗτοι οἱ[3] χριστιανοὶ οὕτως διψῶσιν τὸν θάνατον καὶ τὴν σφαγὴν ὥσπερ τις ἄρτου καὶ ὕδατος ἐπιθυμῶν; » Λέγουσιν αὐτῷ ἐκεῖνοι[4] « Τὴν διδασκαλίαν αὐτῶν πληροῦσι[5]. Γέγραπται γὰρ αὐτῶν εἰς τὰς γραφὰς ἄλλον εἶναι κόσμον ἀόρατον καὶ ζωὴν ἀτελεύτητον. » Τοῦ δὲ ἁγίου πάντα τὰ μέλη ἀπεξάνθη[6] καὶ τὰ ὀστᾶ αὐτοῦ[7] πάντα καὶ αἱ ἁρμονίαι[8] διεσπάσθησαν[9] ἀπὸ[10] τῆς ἀνάγκης καὶ βίας τῶν μαστίγων καὶ τῆς τῶν τεινόντων τάσεως[11]. Ἀναβασταζόμενος δὲ ὑπὸ δύο ἀνδρῶν ἔστη ἐνώπιον αὐτῶν.

36. Καὶ λέγει πρὸς αὐτὸν ὁ ἀρχιμάγος· « Κἂν[1] νῦν ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως, καὶ κελεύω ἰατροῖς σοφοῖς[2], καὶ ἐπιμελοῦνταί σου[3] καὶ τάχιον ὑγιαίνεις[4]. » Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἀειθαλᾶς ἔφη[5] πρὸς αὐτόν· « Μιαρὲ[6] καὶ ἀκάθαρτε καὶ πάντων ἀνθρώπων ἀθλιώτατε, ἔασον ὅτι λέγεις περὶ ἰατρῶν καὶ ὑγείας λόγῳ[7] μόνον· εἰ ἔλεγες καὶ ἔμελλον παραχρῆμα ἰαθῆναι, οὐκ ἂν ἔπεισάς με[8] χωρισθῆναι τῆς ἀγάπης τοῦ Θεοῦ <μου[9]> τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τῷ κτίσματι[10] αὐτοῦ προσκυνῆσαι, τῷ ἡλίῳ τῷ πρὸς ὑπηρεσίαν κτισθέντι τῶν ἀνθρώπων. » Λέγει πρὸς αὐτὸν ὁ ἀσεβής· « Τί γὰρ ἔμεινεν εἰς σὲ ὑγιές; εἰ γὰρ καὶ θελήσεις ποιῆσαι τὸ θέλημα τοῦ βασιλέως, οὐ[11] δύνασαι ζῆσαι ἀπὸ τῶν κολάσεων[12] καὶ τῶν τιμωριῶν τῶν ἐπενεχθεισῶν σοι[13]· καὶ νῦν[14] ἐγώ σε ποιήσω κάκιστον παράδειγμα τοῖς χριστιανοῖς, ἵνα μηδεὶς τολμήσῃ[15] ποτὲ οὕτως ἐνυβρίσαι τοῖς δεσπόταις αὐτοῦ[16]. »

37. Ἔφη πρὸς αὐτὸν ὁ μακάριος[1]· « Ὦ τρισάθλιε, πόθεν σοι τοῦτο, ὅτιπερ καὶ[2] μὴ θέλων προεφήτευσας; ὑπόδειγμα γὰρ καλὸν γινόμεθα τοῖς χριστιανοῖς[3], ἵνα θεασάμενοι ἡμᾶς θαρρήσωσι[4] καὶ καταπατήσωσι τὴν ἀλαζονίαν ὑμῶν· ὄνομα γὰρ καταλιμπάνομεν καὶ μνημόσυνον[5] κάλλιστον τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ τοῦ ἀγῶνος τῆς ἀθλήσεως ἡμῶν καὶ τῆς[6] ὑπομονῆς καὶ τῆς[6] νίκης τῆς πρεσβυτείας ἡμῶν καὶ τοῦ ἀφθάρτου στεφάνου, οὗ[7] ἀποληψόμεθα μετὰ δόξης ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[8]. » Ὁ δὲ μιαρὸς καὶ[9] ἀνόσιος[10] καλέσας Ἀδεσχωρχὰρ τὸν[11] ἀρχιμάγον πατρίδος Ἀδιὰβ[12] εἶπεν πρὸς αὐτόν[13]· « Ἐὰν ζῶσιν οἱ πλάνοι οὗτοι[14], ἀπάγαγε[15] αὐτοὺς εἰς τὴν πόλιν σου καὶ ποίησον αὐτοὺς[16] λιθοβοληθῆναι[17] διὰ χειρὸς τῶν χριστιανῶν· τούτου γὰρ χάριν εἴασα[18] αὐτούς, καὶ οὐκ ἔδωκα κατ' αὐτῶν τὴν διὰ[19] ξίφους ἀπόφασιν. »

38. Παραχρῆμα δὲ[1] ἤγαγεν δύο ζῶα καὶ λαβὼν αὐτοὺς ἐνώπιον τοῦ ἀρχιμάγου[2] ἐπέθηκεν αὐτοὺς[3] ἐπ' αὐτά. Καὶ πανταχόθεν σχοινίοις κατέσφιγξεν[4] αὐτούς[5], ἵνα μὴ πέσωσι διὰ τὸ παραλελύσθαι[6] πάντα τὰ μέλη αὐτῶν καὶ συντετρῖφθαι[7] τὰ ὀστᾶ αὐτῶν. Φθάνοντες δὲ[8] καταμονήν, οὕτως

16. ὁμοίως καὶ οἱ Q. — 17. τοίνυν D, L, Q. — 18. *om.* D, L. — 19. ζ. μ. D, μεγαλυνθῇ σώζω ὁ ποιηθεῖ Q.

35. — 1. (ταῦτα-γενόμενος) ἔκθαμβος δὲ γενόμενος ὁ ἀρχιμάγος D, L, Q, καὶ *add.* Q. — 2. μ. εἶπεν Q. — 3. *om.* Q. — 4. *om.* D, L, Q. — 5. ἐκπληροῦσιν D. — 6. ἀποξανθέντα Q. — 7. D, L, Q. — 8. (π. κ. αἱ ἁ.) π. ἁρμογῶν αὐτῶν D, L, ἁρμωγονάτων αὐτοῦ Q. — 9. διασπασθέντα Q. — 10. ὑπὸ D, L, Q. — 11. D, L, στάσεως N, B, Q.

36. — 1. B, D, L, καὶ Q, N. — 2. ἰατροὺς σοφοὺς D. — 3. σε B, D. — 4. ὑγ. ταχ. B. — 5. εἶπεν D. — 6. *om.* Q. — 7. λόγον Q. — 8. μου Q. — 9. B, D, L, Q, *om.* N. — 10. τὸ κτίσμα D, τῷ κτίσμα B. — 11. *om.* D, L. — 12. ἀ. τ. κ. *om.* Q. — 13. (καὶ-σοι) *om.* D, L, Q. — 14. δὲ *add.* D, L. — 15. μη τολμήσῃ τις B. — 16. (ἐν.-αὐτοῦ) ὑβρίσαι D, L, Q.

37. — 1. ἔφη τε πρὸς αὐτὸν ὁ ἅγιος Q. — 2. *om.* D, L, Q. — 3. πάντων τῶν χριστιανῶν D, L, Q. — 4. καταργήσωσιν Q. — 5. γὰρ καὶ μν. κατ. D, L, Q. — 6. *om.* D, L, Q. — 7. ὃν D, L. — 8. Ἰ. Χ. *om.* D, L, Q. — 9. μ. καὶ *om.* Q. — 10. δυσσεβὴς D, L, Q. — 11. Ἀδοσχοχάρτον Q, Ἀδοσχόρχα τὸν L, Ἀδοσχορχὰρ τὸν ὃν D. — 12. Ἐλιὰβ B, N, Ἀδειὰβ L, Αἰδειὰβ D, Ἀδειάμ Q. — 13. B, D, L, Q, αὐτῷ N. — 14. πολλοὺς πλανήσουσιν *add.* Q. — 15. ἄπαγε D, L, ἀπάγε οὖν Q. — 16. αὐτοῖς D, L, N. — 17. λίθοις βληθῆναι D, L. — 18. ἔασα Q. — 19. τοῦ *add.* L.

38. — 1. τε D, L. — 2. (ἐν. τ. ἀ.) ἔμπροσθεν αὐτοῦ D, L, Q. — 3. αὐτοῖς B, *om.* D, L. — 4. κατέσφιγγον D, L, Q. — 5. αὐτοῖς N. — 6. παραλυθῆναι D, L, Q — 7. καὶ καὶ συντριβῆναι *ita* Q, πάντα *add.* D. — 8. φθανόντων δὲ αὐτῶν εἰς Q.

αὐτοὺς ἔρριπτον ἀπὸ τῶν ζώων διὰ τὸ μῖσος ὃ εἶχον πρὸς αὐτοὺς οἱ μάγοι, ὥσπερ ἄν [9] τις ῥίψοι [10] γόμον ξύλων [11] ἐπὶ τὴν γῆν [12]· καὶ γενόμενοι [13] εἰς τὴν πόλιν Ἀρβὴλ [14] τῆς ἐνορίας Ἀδιὰβ [15], κατέκλεισαν αὐτοὺς ἐν τῷ [16] σκοτεινῷ δεσμωτηρίῳ, ἔνθα αἷμα καὶ ἀκαθαρσία πολλὴ ἦν ὑποκάτω αὐτῶν ἀπό τε τῶν πληγῶν καὶ τῶν τραυμάτων ἰχὼρ πολὺς [17] κατέρρεεν [18], ἐκάθισέν τε [19] φυλακὰς [20] ἐν τῇ εἱρκτῇ [21], ἵνα μήτις τῶν χριστιανῶν εἰσέλθῃ πρὸς αὐτούς.

39. Γυνὴ δέ τις μεγάλη καὶ σφόδρα χριστιανὴ ἦν ἐν τῇ πόλει ἐκείνῃ, ἧς τὸ μνημόσυνον εἰς εὐλογίαν, καὶ τὸ ὄνομα δὲ αὐτῆς ἐγνωρίσαμεν καὶ ἐν ἑτέρῳ μαρτυρολογίῳ, ἡ [1] Ἰσδανδούλ [2], διότι ἐτίμα πάντας τοὺς χριστιανοὺς καὶ πάντας τοὺς [3] διὰ [4] Χριστὸν κατακλείστους ὑπάρχοντας ἔτρεφε [5] καὶ ἐπεμελεῖτο. Ὡς οὖν [6] ἤκουσεν [7] περὶ τῶν ἁγίων Ἰωσὴφ καὶ Ἀειθαλᾶ, ὅτι μεγάλως θλίβονται, ἔπεμψε καὶ ἐκάλεσεν τὸν δεσμοφύλακα καὶ ἔδωκε αὐτῷ χρυσίον ἱκανόν [8], παρακαλέσασα [9] αὐτὸν τοῦ ἰδεῖν αὐτούς. Ὁ δὲ μετὰ φόβου ὑπέσχετο αὐτῇ τοῦτο ποιῆσαι [10]· καὶ πέμψασα τοὺς δούλους αὐτῆς νυκτός, ἤνεγκεν [11] αὐτοὺς βασταγμῷ εἰς τὴν οἰκίαν αὐτῆς. Ὡς δὲ ἐθεάσατο αὐτοὺς οὕτως [12] ἀπανθρώπως ἡλκωμένους, λαβοῦσα ὀθόνην καθαρὰν [13], δι' ἑαυτῆς ἐπέδησε τὰ τραύματα αὐτῶν, ἀπομάσσουσα τὸ αἷμα αὐτῶν [14] καὶ τὴν ἀκαθαρσίαν· ἤλειφεν δὲ [15] τῷ λύθρῳ [16] τῷ ἀπ' αὐτῶν [18] στάζοντι [19] τὸ σῶμα [20] αὐτῆς καὶ κατεφίλει τὰς παραλελυμένας αὐτῶν χεῖρας καὶ τοὺς συντετριμμένους αὐτῶν βραχίονας καὶ ἐπαλείφουσα αὐτοὺς μύρῳ [21] ἔκλαιεν πικρῶς ὅλην τὴν νύκτα· οὕτως γὰρ ἔκειντο οἱ ἅγιοι ἔμπροσθεν αὐτῆς ὥσπερ [22] τι τῶν ἀψύχων καὶ ἀναισθήτων.

40. Μόλις δὲ μικρὸν ἀναψύξας καὶ ἀναλαβὼν ἑαυτὸν ὁ ἅγιος [1] Ἰωσὴφ εἶπεν αὐτῇ· « Διὰ τί οὕτως πικρῶς κλαίεις δι' ἡμᾶς [2]; οὐ ποιεῖς ὡς χριστιανὴ τελεία, ὅτι οὕτως κλαίεις [3]. » Ἡ δὲ εἶπεν αὐτῷ· « Οὐχὶ δι' ὑμᾶς κλαίω, κύριοί μου· ἐμοὶ γὰρ ἄμετρος ἦν [4] χαρά, εἰ παραχρῆμα εἶδον ὑμᾶς τελειωθέντας, ἀλλὰ χάριν τούτου κλαίω [5] πικρῶς, διότι ὁρῶ ὑμᾶς εἰς τὰς θλίψεις ταύτας καὶ εἰς τὰς πικρὰς ἀνάγκας. »

41. Ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν πρὸς αὐτήν [1]· « Αἱ θλίψεις αὗται καὶ αἱ [2] ἀνάγκαι πλήρεις χαρᾶς καὶ ἀναπαύσεως τυγχάνουσιν· ὁ γὰρ κύριος ἡμῶν καὶ [3] σωτὴρ [4] εἶπεν, ὅτι στενὴ καὶ τεθλιμμένη ἐστὶν [5] ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Καὶ πάλιν εἶπεν· Ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται· καὶ ὁ μακάριος ἀπόστολος Παῦλος [6] λέγει· Τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην. Καὶ πάλιν εἶπε περὶ πολλῶν θλιβέντων, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [7]. Καὶ σὺ οὖν, ὦ [8] πιστὴ καὶ τελεία [9], ὅταν ἴδῃς χριστιανοὺς θλιβομένους καὶ ὑπομένοντας, χαῖρε μᾶλλον [10] καὶ εὐχαρίστει τῷ Θεῷ· ὅσον γὰρ θλίβονται, τοσοῦτον πληθύνεται ὁ μισθὸς αὐτῶν καὶ ὁ στέφανος αὐτῶν μεγαλύνεται. »

42. Περὶ δὲ τὸ διάφαυμα βαστάσαντες αὐτοὺς πάλιν ἀπήνεγκαν ἐν τῷ δεσμωτηρίῳ· καὶ διετέλεσαν ἐκεῖ ἄλλους ἓξ μῆνας ἐν σκότει καθειργμένοι καὶ θλίψεσι μεγάλαις, ἃς οὐ [1] δύναται [2] ἄνθρωπος διηγήσασθαι· ἐν δὲ τῷ μεταξὺ συνέβη τὸν παραλαβόντα αὐτοὺς [3] ἀρχιμάγον διαδεχθῆναι [4] καὶ ἕτερον ἀντ' αὐτοῦ γενέσθαι, ὀνόματι Ζερώθ [5], σφόδρα δεινὸν καὶ πονηρὸν μᾶλλον ἤπερ [6] τὸν πρὸ αὐτοῦ καὶ πρόσταγμα ἀνόσιον εἰληφότα καὶ λίαν ἀνιαρὸν [7] παρὰ τοῦ ἀνόμου βασιλέως κατὰ [8] τῶν χριστιανῶν, περι-

9. εἰ *add.* D. — 10. ῥίψη B, N, Q, L, ῥίψει D. — 11. (ὥσπερ-ξύλων) *reponit* Q *post* ζώων. — 12. ἐπὶ τὴν γῆν *om.* D, L, Q. — 13. γενόμενος B. — 14. Ἀρβὶλ Q. — 15. Ἐδιὰβ N, Ἐδιάμ B. Ἐδιὲβ D. Ἐδειὲβ L. Ἐδειάμ Q. — 16. *om.* Q. — 17. (ἔνθα-πολύς) *om.* Q. — 18. καταρρέων B. αὐτῶν καταρρέων L, ἀπ' αὐτῶν κατέρρεεν D, *om.* Q. — 19. καὶ ἐκάθισεν Q. — 20. φυλάσσειν αὐτοὺς *add.* Q. — 21. φυλακῇ D, L, Q.

39. — 1. *om.* D, L, Q. — 2. Ἰσδανδούχ Q, Ἰησδανδουλ L, D. — 3. ἁγίους τοὺς *add.* D, L, Q. — 4. τὸν *add.* D, L, Q. — 5. αὐτὴ *add.* D, L, Q. — 6. *om.* D, L, Q. — 7. δὲ *add.* D, L, Q. — 8. πολὺν Q. — 9. παρακαλέσας Q. — 10. τ. π. *om.* D, L, Q. — 11. ἤνεγκαν D. — 12. *om.* D, L. — 13. ὀθόνια καθαρὰ D, L, Q. — 14. *om.* D, L, Q. — 15. τε D, L. — 16. τὸ λύθρον Q. — 18. ἀ. α. *om.* D, L, Q. — 19. στάζον B, N, ἀποστάζοντα ἀπ' αὐτῶν Q, ἀπ' αὐτῶν D, L. — 20. τὰ//ῶμα Q. — 21. μύρον Q. — 22. ὡς D, L.

40. — 1. ὁ ἅγιος ἑαυτὸν D. — 2. δι' ἡμᾶς *om.* D, L, καὶ Q. — 3. (ὅτι-κλαίεις) *om.* Q. δι' ἡμᾶς *add.* B, D, L. — 4. ἡ *add.* L. — 5. καὶ στενάζω *add.* D, L, Q.

41. — 1. B, D, L, Q, αὐτῇ N. — 2. *om.* B, D, L, Q. — 3. κ. η. κ. *om.* D, L, Q. — 4. ἡμῶν Χριστὸς *add.* D, L, Q. — 5. *om.* Q, ἡ D, L. — 6. *om.* D, L. — 7. (καὶ ὁ μακ.-κόσμος) *om.* Q. — 8. ὡς B. — 9. τελείαι B. — 10. χαίρου μάλιστα D.

42. — 1. μὴ *add.* D, L. — 2. δύνηται N. — 3. αὐτοῖς B. — 4. διασχεθῆναι L. — 5. Ζερῶθ Q. — 6. (μ. ἤ.) παρὰ D, L, Q. — 7. ἀν. λ. D, L, Q. — 8. καὶ τὰ Q.

εἶχεν δὲ τὸ πρόσταγμα ὥστε τοὺς χριστιανοὺς αὐτοὺς δι' ἑαυτῶν τοὺς ἰδίους αὐτῶν ἡγουμένους λιθάζειν[9].

43. Ἐγένετο δὲ ἐκεῖ τάραχος καὶ θλῖψις[1] μεγάλη· ἔφυγον γὰρ πάντες οἱ χριστιανοὶ ἐλεύθεροί τε καὶ δοῦλοι[2] καὶ ἐν τοῖς ὄρεσι κατεκρύβησαν, ἵνα μὴ ἀναγκασθῶσιν ἐκχέαι αἷμα ἀθῷον[3]. Καὶ γὰρ εὐθέως ὡς[4] ἐπέστη ὁ ἀρχιμάγος τῇ πόλει[5], εἰσῆλθεν εἰς τὸν ναὸν τοῦ πυρός, ἐπὶ τὸ προσκυνῆσαι. Καὶ λέγουσιν αὐτῷ οἱ ὑπηρέται τοῦ πυρός· « Κύριε[6], εἰσὶν ἐνθάδε[7] τινὲς δύο γόητες τῶν λεγομένων χριστιανῶν κατάκλειστοι ἐν τοῖς[8] δεσμοῖς τρία ἥμισυ ἔτη ἔχοντες[9], οὓς ἐπὶ πολὺ[10] πολλάκις βασανίσας Ἀδερχωσχὰρ[11] ὁ ἀρχιμάγος οὐκ ἴσχυσεν ὅλως χαυνῶσαι αὐτοὺς[12] εἰς τὸ ὑπακοῦσαι τὸ πρόσταγμα[13] τοῦ βασιλέως. » Ὁ δὲ ἀρχιμάγος[14] ἀκούσας ταῦτα[15] παραχρῆμα ἐκέλευσεν αὐτοὺς ἀχθῆναι[16] ἐνώπιον αὐτοῦ καὶ μετ' ὀργῆς ἀπειλῶν ἤρξατο αὐτοὺς ἐκφοβεῖν ὡς ἐνόμιζεν, λέγων πρὸς αὐτούς· « Ὦ λαὸς μωρὸς[17] καὶ σκληροτράχηλος, οὔπω[18] κατεπτόησεν[19] ὑμᾶς τὸ πρόσταγμα ἔτι[20] τοῦ μεγάλου[21] βασιλέως Σαβωρίου[22] τοῦ[23] δεσπότου πάσης τῆς γῆς, ὃς ἠρήμωσεν[24] βασιλείας μεγάλας καὶ κατέσχεν πόλεις ὀχυρὰς καὶ ὑπέταξεν πατρίδας πολλὰς ὑπὸ τοὺς πόδας αὐτοῦ; ὑμεῖς δὲ καθεζόμενοι εἰς τὴν γῆν καὶ εἰς[25] τὰς πόλεις αὐτοῦ τυραννεῖτε καὶ ἐξουθενεῖτε τοὺς νόμους αὐτοῦ, διαπτύοντες αὐτοῦ τῶν προσταγμάτων. »

44. Ἀποκριθεὶς δὲ ὁ μακάριος[1] Ἀειθαλᾶς εἶπεν πρὸς αὐτόν[2]· « Εἰ τὸν βασιλέα σου τυραννοῦμεν καὶ ἐχθροὶ αὐτοῦ, καθὼς ἐμαρτύρησας[3] κατηγορῶν[4], τυγχάνομεν, διὰ τί οὐ παρετάξατο[5] πόλεμον καὶ μετὰ στρατείας καὶ ὅπλων ἦλθεν[6] πολεμῆσαι καθ' ἡμῶν[7], ὃν τρόπον καὶ μετὰ τῶν ἄλλων βασιλέων, ὧνπερ ἐμνημόνευσας; ἀλλὰ σὲ τὸν ταλαίπωρον καὶ ἄνανδρον ἔπεμψεν, οὗπερ τρέμει ἡ καρδία σου ὥσπερ φύλλον σαλευόμενον[8] ὑπὸ ἀνέμου, ὅταν φυσήσῃ εἰς αὐτό[9]· οὐδέποτε σύ[10], ἀνόσιε, ἐθεάσω πόλεμον ἐν ἐρήμῳ, ἀλλὰ πᾶσα ἡ ἰσχύς[11] σου καὶ ἡ ἐργασία σου μετὰ γυναικῶν ἐν τῷ ταμείῳ[12] ἐγένετο[13]· διὸ καταισχύνθητι καὶ μηκέτι λαλήσῃς[14], κύον[15] ἀκάθαρτε· οὐκ ἦλθες γὰρ ἐνταῦθα νικῆσαι[16] ἡμᾶς τοὺς ἐν ἀληθείᾳ τοῦ Θεοῦ ἡμῶν ἑστῶτας, μὴ καλῶς σοι εἴη[17], ἀλλὰ[18] πλανῆσαι ἦλθες τοὺς ὁμοίους σου[19] παναθλίους· ἡμεῖς δὲ εἰς τὸν Θεὸν ἡμῶν[20] ἔχοντες[21] τὰς ἐλπίδας[22], εἰς τὴν πίστιν καὶ ἀγάπην αὐτοῦ ἐγκαρτεροῦμεν. Καὶ ὁ λόγος σου ὁ πάσης πικρίας πεπληρωμένος εἰς τὰς ἀκοὰς ἡμῶν οὐκ εἰσέρχεται. »

45. Ὁ ἀρχιμάγος εἶπεν· « Ὦ γόης[1] καὶ ἀσεβῆ, διὰ τί[2] τοσοῦτον φλυαρεῖς καὶ ὑβρίζεις με, ἐμοῦ μακροθυμοῦντος, ἵνα πάντως[3] ἐφ' ἅπαξ τὴν κεφαλήν σου λάβω[4] καὶ ἀπαλλαγῇς πολλῶν θλίψεων καὶ βασάνων· οὐχ οὕτως δέ σοι ἔσται, ἀλλὰ μακροθυμήσω[5] ἐπὶ σοὶ καὶ κατ' ὀλίγον ἀναλώσω σε, καθὼς ἐπιθυμεῖ ἡ ψυχή μου, ὥσπερ[6] οὖν[7] καὶ ἐκελεύσθην. » Ἀπεκρίθη[8] ὁ ἅγιος Ἰωσὴφ καὶ εἶπεν· « Οἴδαμεν, ὅτι ὥσπερ ἀσπὶς[9] βύουσα τὰ ὦτα αὐτῆς καὶ ἔσωθεν πάσης[10] πικρίας γέμουσα, οὕτως καί σου ἡ καρδία ὑπάρχει πλήρης γέμουσα πικρίας[11] καὶ δόλου καὶ ὅλον τὸ σῶμά σου ἔβαψας εἰς τὸν θυμὸν καὶ ὡς δράκων διαφθορεὺς οὕτως διψᾷς τοῦ διαφθεῖραι ψυχὰς ἀνακειμένας Θεῷ[12]· λοιπὸν οὖν φανέρωσον τὸν δόλον σου, ὦ ταλαίπωρε, καὶ δεῖξον τὴν ἐξουσίαν σου, ὦ τύραννε, καὶ σπάσον σου[13] τὴν μάχαιραν, ὦ φονεῦ, καὶ τὸν θυμόν σου ἀνάπαυσον εἰς τὸ ἀθῷον ἡμῶν αἷμα, ὦ αἱμοπότα, ἵνα

9. (περιεῖχεν-λιθάζειν) ἵνα αὐτοὶ δι' ἑαυτῶν λιθάσωσιν (λιθάζουσιν Q) D, L, Q.

43. — 1. θλίψεις D. — 2. δούλου Q. — 3. αἷμα ἐκχέε ἀ. L, α. ἀθῷον ἐκχῦσαι D. α. ἐκχέειν ἀ. Q. — 4. *om.* Q. — 5. τ. π. ὁ ἀ. D, L, Q, καὶ *add.* Q. — 6. *om.* D, L, Q. — 7. ἐνταῦθα B, D, L, Q. — 8. *om.* D, L. — 9. ἐχ. ἔτη L. — 10. πολλοὶ Q. — 11. Ἀδοσχόχὰρ Q, Ἀδεσχωρχὰρ N. — 12. *om.* D, L, Q. — 13. τῷ προστάγματι D, L. — 14. ταῦτα D, L, Q. — 15. *om.* D, L, Q. — 16. εἰσαχθῆναι Q. — 17. τολμητίας D, L, Q. — 18. οὐ D, L, Q. — 19. κατέπηξεν D, L. — 20. ἔτι τὸ π. D, L. — 21. καὶ φοβεροῦ *add.* D, Q. — 22. τοῦ β. τοῦ μεγ. καὶ φοβεροῦ D. — 23. καὶ D, L, Q. — 24. ἐρήμοσεν Q. — 25. *om.* B.

44. — 1. ἅγιος D, L. — 2. B, D, L, Q, αὐτῷ N. — 3. καὶ *add.* Q. — 4. κακιγορῶν D, L, κατήγωροι Q. — 5. οὐκ ἐπαρετάξατο εἰς Q, οὐ παρετάξω B. — 6. ἦλθες B. — 7. (κ. ἡ.) ἡμᾶς D. — 8. φύλλου σαλευομένου D, L. — 9. αὐτὸν N, (ὅταν-αὐτὸ) *om.* Q. — 10. ὁ *add.* D, L, Q. — 11. αἰσχύνη D, L, Q. — 12. ταμιείῳ D, L, Q. — 13. γίνεται Q. — 14. καὶ μεῖνον ἄλαλος Q. — 15. ὦ κύων D, L, Q. — 16. ν. ἐντ. L, Q. — 17. εἰ L, (μὴ-εἴη) *om.* Q. — 18. καὶ *add.* D. — 19. οὐ Q. — 20. B, D, L, Q, *om.* N. — 21. ἔχομεν Q. — 22. καὶ *add.* Q, L.

45. — 1. γόει Q, γόη L, D. — 2. τοῦτο D, L. — 3. *om.* D, L, Q. — 4. λάβων Q. — 5. μακροθυμῶ L. — 6. ὡς D, L, Q. — 7. *om.* D, L, Q. — 8. δὲ *add.* Q. — 9. νῦν *add.* L. — 10. *om.* D, L. — 11. π. γ. D, L. — 12. (ψυχάς-Θεῷ) *om.* D, L, Q. — 13. B, D, L, Q, *om.* N.

καταχριθῇς εἰς τὴν αἰώνιον[14] χρίσιν καὶ τὸ πῦρ τὸ ἄσβεστον[15], καὶ πέμψον ἡμᾶς σὺν πλούτῳ πολλῷ[16] καὶ δόξῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εἰς ἣν ζητοῦμεν[17] καὶ ἐπιθυμοῦμεν εἰσελθεῖν[18], αὐτὴ γὰρ καταργεῖ τὴν βασιλείαν ὑμῶν ταύτην καὶ τὴν ἐξουσίαν ὑμῶν τὴν πρόσκαιρον. »

46. Τότε λίαν θυμωθεὶς ὁ ἀσεβὴς ἐκέλευσεν αὐτὸν κρεμασθῆναι[1] κατακέφαλα[2] ἐξ ἄκρων ποδῶν καὶ τοῖς ὠμοῖς δέρμασι τύπτεσθαι κατὰ τῶν πρώτων πληγῶν καὶ τραυμάτων. Καὶ ἐπὶ τοσοῦτον αὐτὸν ἐμάστιξαν, ἕως οὗ[3] ἀπὸ παντὸς τοῦ σώματος αὐτοῦ τὸ αἷμα ὥσπερ ἀπὸ πηγῆς[4] κατέρρεεν. Ἔκλαιεν δὲ τὸ περιεστὸς πλῆθος[5] διὰ τὰς θλίψεις καὶ βασάνους τοῦ τιμίου τούτου πρεσβύτου[6]. Οἱ δὲ μάγοι ἔλεγον λεληθότως[7] τῷ ἁγίῳ· « Ἐὰν[8] αἰσχύνῃ[9] διὰ[10] τὸ περιεστὸς πλῆθος[11] προσκυνῆσαι, εἰσφέρομέν σε εἰς τὸν ναὸν τοῦ πυρὸς κἀκεῖ λαθραίως προσκύνησον, ἵνα ῥυσθῇς[12] ἀπὸ τῶν ἀναγκῶν τούτων. »

47. Ὁ δὲ μακάριος Ἰωσὴφ ἐφ' ὅσον ἴσχυεν[1], ἐβόησε καὶ εἶπεν· « Ἀπόστητε ἀπ' ἐμοῦ, μιαρώτατοι καὶ ἐργάται τῆς ἀνομίας, εἰς τὸ αἰώνιον πῦρ· αὐτὸ[2] γὰρ καὶ τιμωρήσεται[3] ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ. » Ἦν δὲ ὁ ἅγιος κρεμάμενος καὶ στρεβλούμενος κατὰ κεφαλῆς ἕως ὡρῶν τριῶν καὶ χαίρων ἐπὶ τοσοῦτον ἐνεκαρτέρει[4]. Κελεύει δὲ αὐτὸν κατενεχθῆναι καί φησι πρὸς αὐτόν· « Κἂν νῦν πείθει ζῆσαι, ἐκτελῶν τὸ πρόσταγμα τοῦ βασιλέως, ὦ φλύαρε καὶ ταλαίπωρε. » Ἀποκριθεὶς δὲ ὁ ὅσιος[5] εἶπεν· « Τοιαύτην ζωὴν μηδέποτε ζήσω. » Ὁ ἀρχιμάγος εἶπεν· « Ἐὰν δώσω[6] σοι θάνατον, ἡδέως λαμβάνεις; » Λέγει ὁ μακάριος[7]· « Ὁ παρὰ σοῦ θάνατος ἐμοὶ καὶ[8] τοῖς εὖ φρονοῦσιν ζωὴ αἰώνιός ἐστιν· ἡ δὲ παρὰ σοῦ ζωὴ θάνατος ὁμοίως[9] αἰώνιος ὑπάρχει[10]. »

48. Λέγει ὁ ἀρχιμάγος[1]· « Ἰδοὺ νῦν[2] τέως[3] τὸ σῶμά σου διέφθαρται[4] ἀπὸ τῆς ζωῆς· ἡ δὲ ψυχή σου βραχὺ ἀναπνέει εἰς σέ· ἥντινα εἰς τὰς ἑτέρας βασάνους ἀποκτενῶ. » Καὶ ὁ μακάριος πρὸς αὐτὸν ἔφη[5]· « Ψυχῆς μόνον οὐκ ἔχεις ἐξουσίαν[6] τοῦ ἀπολέσαι αὐτήν· μή σοι εἴη καλῶς. Γέγραπται γὰρ ἡμῖν· μὴ φοβεῖσθε[7] ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι[8]. Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· καὶ σὺ μὲν διέφθειρας τὸ σῶμα τοῦτο τῇ ἐξουσίᾳ σου τῇ καταργουμένῃ, τὴν δὲ[9] ψυχὴν οὐ δύνασαι συμποδίσαι ἀποστῆναι[10] ἀπὸ[11] τῆς ἐλπίδος αὐτῆς[12] καὶ τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς, ἔνθα τετήρηται ὑμῖν τοῖς ἀσεβέσι πῦρ ἄσβεστον κλαυθμός τε[13] καὶ βρυγμὸς ὀδόντων εἰς αἰῶνα αἰῶνος. »

49. Ὁ δὲ ἀσεβὴς[1] μυκτηρίζων αὐτὸν εἶπεν· « Εἰ οὕτως ἔστιν σοι[2] καθὼς λέγεις ἐκεῖ[3], ἐμοὶ πολλὰς[3] χάριτας ὀφείλεις δοῦναι[4]. » Ὁ δὲ μακάριος[5] Ἰωσὴφ[6] λέγει[7] πρὸς αὐτόν[8]· « Ὁ κύριος ἡμῶν καὶ δεσπότης καὶ[9] φιλάνθρωπος Χριστὸς[10] ἐνετείλατο ἡμῖν, ἵνα περὶ[11] τῶν[11] ἐχθρῶν[11] ἡμῶν[11] εὐχώμεθα καὶ εὐλογῶμεν[12] τοὺς[11] καταρωμένους ἡμῖν ἀγαπῶμέν τε[13] τοὺς μισοῦντας ἡμᾶς καὶ καλῶς μοι ἀγαθὰ ποιῶμεν[14] τοῖς διώκουσιν ἡμᾶς. » Ὁ[15] δὲ ἀνόσιος πάλιν ἔφη αὐτῷ γελάσας· « Τοιγαροῦν ἐκεῖ πολλὰ χρεωστεῖς ὑπὲρ ὧν[16] ἐνταῦθα[17] κακῶν σοι[18] ἐνδείκνυμι[19]. » Καὶ ὁ[20] ἅγιος πρὸς αὐτόν· « Οὐχ οὕτως, ὡς ὑπέλαβες, ἀνόσιε[21], ἐν γὰρ ἐκείνῳ τῷ κόσμῳ οὐχ οἷόν τέ τινι[22] ποιῆσαι[23] ἔλεος

14. *om.* D, L, Q. — 15. αἰώνιον D, L, Q. — 16. *om.* D, L, Q. — 17. ἐλπίζομεν B, D, L, Q. — 18. ἀπελθεῖν D, L.

46. — 1. κ. α. B, L, D, Q. — 2. κατὰ κεφαλῆς B, D, κατὰ κεφαλὴν Q. — 3. *om.* D, L, ὅτου Q. — 4. (ὡ. ἀ. π.) ἐπὶ τὴν γῆν Q. — 5. καὶ τὸ περὶ ἑστῶς πλῆθος ἔκλαιεν D, L, τὰ δὲ περιεστῶτα πλήθει ἔκλαιων Q. — 6. τοῦ τιμιωτάτου πρεσβυτέρου Q. — 7. ἔλεγον δὲ λεληθότως (λεληθότες Q) οἱ μάγοι D, L, Q. — 8. εἰ μὲν Q. — 9. διατρέπει D, L, Q. — 10. *om.* D. — 11. (τὸ π. π.) τὸν περιεστῶτα ὄχλον D. L, Q. — 12. ῥυσθήσει Q.

47. — 1. ἴσχυσεν D. — 2. αὐτῷ Q, L, αὐτὸς B. — 3. τιμωρήσει Q. — 4. B, D. L, Q, ἐκαρτέρει N. — 5. ἅγιος D, L, Q. — 6. B, L, D, Q, δῶ N. — 7. ἅγιος Q. — 8. (ἐμοὶ καὶ) ἡμῖν B. — 9. *om.* D, L. — 10. (ὑ. αἰ.) D.

48. — 1. ὁ. ἀ. λ. Q. — 2. *om.* D, L. — 3. τ. ν. Q. — 4. διαφθείρεται Q. — 5. ὁ ἅγιος λέγει πρὸς αὐτὸν Q. — 6. ἐξουσίας Q. — 7. φοβηθῆτε D, L. — 8. ἀποκτείναι Q. — 9. *om.* D. — 10. *om.* D, L. — 11. *om.* B, Q. — 12. ἀποστῆναι *add.* D, L. — 13. καὶ κλαθμὸς Q.

49. — 1. ἀσεβέστατος D, L, Q. — 2. ἐκεῖσε D, L, Q. — 3. *om.* D, L, Q. — 4. ἔχειν Q, *om.* D, L. — 5. ἅγιος Q. — 6. *om.* D, L, Q. — 7. εἶπεν N, *om.* D, L, Q. — 8. αὐτῷ N. — 9. *om.* D, L. — 10. Θεὸς B. — 11. *om.* D. — 12. εὐλογοῦμεν N, B, L, Q, D. — 13. καὶ Q. — 14. ποιοῦμεν B, Q, D, L. — 15. *om.* Q. — 16. *ita prius* ὑπέρανο *corr. rec.* L. — 17. ἐντεῦθεν D. — 18. πολλὰ κακῶν ουν *corr. rec.* L; πολλὰ κακά σοι Q, κακά σοι B. — 19. ἐνεδείκνυμι Q. — 20. ὁ δὲ Q. — 21. ὦ ἀνάξιε D, L, Q. — 22. *om.* D, L, Q. — 23. τινι *add.* D, L, Q.

μετὰ [24] ἑταίρου ἢ καὶ ἀδελφοῦ [25] αὐτοῦ, ἐν δὲ [26] τῷ κόσμῳ τούτῳ, ὅσον οἷός τέ [27] εἰμι, εὔχομαι, ἵνα [28] ἀποστραφῇς ἀπὸ τῆς πλάνης ταύτης καὶ ἐπιγνῷς [29] τὸν ἀληθῆ [30] καὶ ζῶντα Θεόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν πιστεύσῃς τε εἰς αὐτὸν ἐν ὅλῃ σου τῇ [31] καρδίᾳ· καὶ [32] ἐὰν [33] οὕτως πιστεύσῃς, ἐλεήσει σε [34] διὰ τὴν αὐτοῦ ἀγαθότητα καὶ συγχωρήσει σοι πάντα [35] τὰ ἁμαρτήματά σου [36]. »

50. Λέγει πρὸς αὐτὸν [1] ὁ ἀσεβής [2]· « Τέως ἔασον ταῦτα παρὰ μίαν [3]. Καὶ ἀπελθὼν ἐκεῖ προσομίλει [4] αὐτὰ [5] ἐν ἐκείνῳ τῷ κόσμῳ, ἔνθα προσδοκᾷς ἀπιέναι· ἐὰν δὲ μὴ ποιήσῃς [6] τὸ πρόσταγμα τοῦ βασιλέως, σὺν μεγάλῃ θλίψει πέμπω σε ἐκεῖ [7]. » Λέγει πρὸς αὐτὸν ὁ μακάριος Ἰωσήφ [8]· « Καὶ ἡ ἐμὴ ἐπιθυμία αὕτη ἐστίν, ἵνα τάχιόν με πέμψῃς [9] ἐκεῖσε· δι' ὃν [10] καὶ ταῦτα ὑπομένω πάσχων παρὰ σοῦ [11]. » Ἔφη [12] πρὸς αὐτὸν ὁ ἀρχιμάγος· « Οὐ ποιῶ τοῦτο, ὅπερ ποθεῖς· ἀλλὰ διὰ [13] τῶν ποικίλων αἰκισμῶν ὧνπερ ἐπάγω σοι φοβῶ [14] πάντας [15] τοὺς χριστιανούς [16]. » Ἀπεκρίθη [17] ὁ ἅγιος καὶ [18] εἶπεν· « Εἰς τοὺς αἰκισμοὺς καὶ τὰς [19] ἀνάγκας, ἅσπερ ἐπήγαγόν μοι [20] οἱ πρὸ σοῦ καὶ σὺ [21] αὐτός, διὰ τῆς χάριτος [22] τοῦ Θεοῦ μου τέλειος εὑρέθην· καὶ ἕτερα οὖν δεινὰ ὅσα ἂν [23] ἐπαγάγῃς μοι τῇ σεαυτοῦ [24] πικρότητι [25] καὶ ἀπανθρωπίᾳ [26], ἔχω τὸν ἐνισχύοντά με Θεὸν [27] παρέχοντά μοι καρτερίαν τε καὶ ὑπομονήν· ὅσοι δὲ τῶν χριστιανῶν [28] καθορῶσι [29] τὸ γῆράς μου ταῦτα πάσχον, ὑπόδειγμα λαμβάνουσι μέγιστον, ἐνδυναμούμενοι τοῦ καταπτύειν καὶ καταπατεῖν τὸν ὄγκον καὶ τὸν τύφον τῆς σῆς ἀλαζονίας [31], ἥνπερ ἐγὼ κατεπάτησα καὶ ἐνίκησα ἐν τῷ γήρει μου τούτῳ [32] διὰ τῆς δυνάμεως τοῦ Θεοῦ μου τοῦ ἐνισχύσαντός [33] με· οὗπερ ἐμμένων [34] τῇ πίστει [35] οὐ παρέσχον σοι τὴν προθυμίαν μου οὔτε μὴν παρέξω ἕως τῆς τελευταίας μου ἀναπνοῆς [36]. » Τότε προσέταξεν ὁ μιαρὸς [37] ἆραι αὐτὸν ἐκ τῶν ἔμπροσθεν αὐτοῦ· καὶ βαστάσαντες [38] αὐτὸν διὰ τὸ μὴ δύνασθαι αὐτὸν [39] βαδίζειν, ἔρριψαν αὐτὸν [39] εἰσενέγκαντες ἐν τῷ δεσμωτηρίῳ.

51. Μετὰ δὲ τοῦτον εἰσήχθη ὁ ἅγιος Ἀειθαλᾶς. Καί φησιν πρὸς αὐτὸν [1] ὁ ἀκάθαρτος καὶ ἀσεβής [2]· « Εἰπέ μοι, σὺ ἔτι εἰς τὸν τυραννικὸν ἐκεῖνον λογισμὸν [3] ἐνίστασαι καὶ οὐ πείθῃ σὺν ἡμῖν προσκυνῆσαι τῷ ἡλίῳ, ἵνα ζήσῃς; » Ἀπεκρίθη αὐτῷ [4] ὁ ἅγιος Ἀειθαλᾶς [5] καὶ εἶπεν· « Ζῇ μου ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, εἰς ὃν μετὰ ἀληθείας ἤλπισα μᾶλλον [6], ἐγὼ εἰς τοῦτον [7] ἐνίσταμαι [8] τὸν τυραννικόν, ὡς ἔφης [9], λογισμὸν καὶ τὸν πάντων κτίστην καὶ δημιουργὸν [10] οὐκ ἀνταλλάσσω [11] εἰς τὸ κτίσμα αὐτοῦ, οὔτε δίδωμι τὴν προσκύνησιν τοῦ ποιητοῦ τῶν ὅλων τοῖς ἔργοις αὐτοῦ [12]. » Ὡς δὲ ταῦτα ἤκουσεν ὁ ἀσεβὴς [13] ἀρχιμάγος [14], παραχρῆμα [15] ἐκέλευσε καὶ αὐτὸν κατὰ κεφαλῆς [16] κρεμασθῆναι ἐξ ἄκρων ποδῶν καὶ βασανίζεσθαι εὐτόνως [17]. Βασανιζόμενος δὲ [17] ὁ μακάριος [18] ἔκραζε [19] καὶ ἔλεγεν· « Χριστιανός εἰμι [20], καὶ πᾶς ἄνθρωπος ἀκουέτω [21], ὅτι χριστιανός εἰμι [22] καὶ διὰ τὸν Χριστὸν ταῦτα [23] πάσχω. »

24. τοῦ *add.* D, L, Q. — 25. *corr. rec.* L, ἀδελφὸν. — 26. ἀλλ' ἐν D, L, Q. — 27. ὅσοι ὅστε Q. — 28. ὅπως *add.* L, Q. — 29. ἐπιγνώσῃ B, D, L. — 30. ἀληθινὸν B. — 31. ὅλῃ καρδίᾳ Q, ὅλῃ κ. σου D, L. — 32. *om.* D, L, Q. — 33. γὰρ *add.* D, L, Q. — 34. *om.* D, L. — 35. (σ. σ. π.) συγχωρέσοι D, L, σ. σου πάντα σου Q. — 36. *om.* Q.

50. — 1. B. L, τὸν ἅγιον Q, αὐτῷ N. — 2. δυσσεβὴς D, L, Q. — 3. π. μ. ἐ. τ. D, L, Q. — 4. ἀπελθὼν δὲ (τε Q) προσομίλει D, L, Q. — 5. ταῦτα L. — 6. ποιεῖς L. — 7. (π. σ. ἐ.) B, L, D, Q, πέμψω N. — 8. λέγει ὁ μακάριος π. α. D, L, λ. αὐτῷ ὁ μ. Ἰ. N, ὁ ἅγιος λέγει π. α. Q. — 9. πέμψῃς μοι Q. — 10. διό Q, δι' ὃ L. — 11. *corr. rec.* L, παρα αὐτοῦ. — 12. λέγει Q. — 13. διὰ δὲ D, L, Q. — 14. φόβον Q. — 15. ἀπὸ σοῦ *add.* D, L, Q. — 16. φοβήσω *add.* Q. — 17. ἀποκριθεὶς δὲ Q. — 18. *add.* Q. — 19. *om.* D, L, Q. — 20. με B. — 21. προεσοῦ καὶ ἔσοὶ Q. — 22. τὴν χάριν D, L. — 23. ὅσα ἂν δεινὰ D, L, Q. — 24. τῆς αὐτοῦ D, L, Q. — 25. πικρίας L, Q, πικρία D. — 26. καὶ ὠμότητος L, Q. — 27. μου καὶ *add.* D, L, καὶ *add.* Q. — 28. δὲ χριστιανοὶ D, L, Q. — 29. κατανοοῦσιν D, L. — 30. πάσχοντα B, Q, D. — 31. καταπατεῖν τὰς βασάνου σου ἀλλὰ καὶ τὸν τύφον καὶ τὴν ἀλαζωνίαν Q. — 32. τούτῳ τῷ γήρει μου D, Q, τῷ γήρει μου L. — 33. ἐνισχύοντος D, L, Q. — 34. ἐμμένω D, L, Q. — 35. τῇ ἀγάπῃ L, τὴν ἀγάπην D, Q. — 36. (οὐ — ἀναπνοῆς) *om.* Q. — 37. ἀσεβὴς Q. — 38. βαστάζ////ντες Q. — 39. *om.* Q.

51. — 1. (μετὰ-αὐτὸν) ἔφη τε πάλιν πρὸς τὸν ἅγιον Ἀειθαλᾶν D, L, Q. — 2. (κ. ἀ.) λέγων Q. — 3. λογισμὸν τοῦτον τ. τ. D, L, Q. — 4. ἀποκριθεὶς δὲ D, L, Q. — 5. *om.* D, L, Q. — 6. μάλιστα D, L, Q. — 7. δὲ *add.* D, L. — 8. ἵσταμαι D, L. — 9. ὡ. ἐ. *om.* Q, ὡς φῂς D. — 10. κ. δ. *om.* D, L, Q. — 11. οὐ καταλαύσω Q. — 12. (οὔτε-αὐτοῦ) *om.* N. — 13. (ὡς-ἀσεβὴς) παραχῆμα δὲ D, L. — 14. καὶ αὐτὸν D, L, Q. — 15. *om.* D, L, Q. — 16. (καὶ-κεφαλῆς) ὁμοίως κατακέφαλα D, L, Q. — 17. *om.* Q. — 18. ὁ ἅγιος Q, *om.* D, L. — 19. ὁ μακάριος *add.* D, L. — 20. bis scriptum B. — 21. ἀκουσάτω L. — 22. (καὶ-εἰμι) *om.* Q, D. — 23. πάντα *add.* L.

52. Μανιχαῖος δέ τις ἦν ἐκεῖ δεδεμένος· ὃν καὶ [1] ἐκέλευσεν ὁ ἀρχιμάγος [2] ἀχθῆναι ἐνώπιον αὐτοῦ καὶ τὸν ἅγιον δὲ [3] Ἀειθαλᾶν ἐκέλευσεν κατενεχθῆναι [4], ὅπως ἴδῃ τὸν Μανιχαῖον ἀρνούμενον τὴν πίστιν αὐτοῦ [5]. Ὡς οὖν ἠνάγκασεν [6] αὐτὸν ἀρνήσασθαι [7] καὶ θῦσαι, παρὰ μὲν τὴν ἀρχὴν ἀντέλεγεν. Κελεύει [8] δὲ αὐτὸν εὐτόνως μαστίζεσθαι· ὅθεν [9] ἐπ' ὀλίγον [10] οὖν ἀντισχὼν [11] ἔκραζε [12] λέγων· « Ἀνάθεμα τῷ Μάνῃ [13] καὶ τῇ πίστει αὐτοῦ καὶ [14] τῇ διδαχῇ αὐτοῦ. » Παραυτὰ δὲ ἤνεγκαν αὐτῷ [15] μύρμηκα [16], ἵνα φονεύσῃ αὐτόν [17]· οἱ γὰρ Μανιχαῖοι τὸν μύρμηκα θεὸν εἶναι λέγουσι καὶ [18] σέβονται [19] αὐτόν. Ὁ δὲ [20] δεξάμενος εὐθέως ἀπέκτεινεν αὐτόν· ὡς δὲ εἶδεν ταῦτα αὐτὸν ποιήσαντα, ὁ ἅγιος Ἀειθαλᾶς [21] ἠλλάγη τὸ πρόσωπον [22] αὐτοῦ ἀπὸ τῆς χαρᾶς καὶ ἐγένετο ὥσπερ ῥόδον. Μὴ δυνάμενος δὲ στῆναι ἐκάθισεν· οἱ γὰρ βραχίονες αὐτοῦ ἤρτηντο [23] τῶν ὤμων αὐτοῦ ὥσπερ χειριδάρια ἱματίου. Καὶ σκιρτήσας φωνῇ μεγάλῃ λέγει [24]· « Ἐταλαιπώρησε Μάνης καὶ ἡττηθεὶς ἀπέκτεινε [25] τὸν θεὸν αὐτοῦ. Μακάριος δέ εἰμι ἐγὼ καὶ τρισμακάριος, ὅτι ἐνίκησα διὰ τοῦ ἁγίου μου [26] Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὃς ὑπάρχει Θεὸς [27] πρὸ [28] αἰώνων καὶ εἰς τοὺς αἰῶνας αὐτός ἐστιν. »

53. Ἀκούσας δὲ ταῦτα [1] ὁ δυσσεβὴς [2] ἠλλοιώθη ἀπὸ τοῦ θυμοῦ καὶ κελεύει αὐτὸν μαστίζεσθαι ῥάβδοις ῥοῶν [3]. Ἐπὶ τοσοῦτον δὲ αὐτὸν ἐμάστιξαν, ἕως ὅτε γνῶναι ἑαυτὸν [4] οὐκ ἠδύνατο· καὶ σύραντες αὐτὸν ἔρριψαν ἐκ τοῦ σύνεγγυς ἐν ἑτέρῳ τόπῳ. Καταμαθὼν [5] δέ τις [6] τῶν μάγων γυμνωθέντα τὸν μακάριον, ἔπαθεν [7] ὡς ἄνθρωπος σπλαγχνισθεὶς καὶ λαβὼν τὸ ἑαυτοῦ σαγίον [8] ἐσκέπασεν αὐτόν. Οἱ δὲ πονηροὶ καὶ [9] ἀκάθαρτοι ἑταῖροι αὐτοῦ μάγοι θεασάμενοι αὐτὸν [10] κατηγόρησαν αὐτοῦ [11] ἐπὶ τοῦ ἀρχιμάγου· καὶ κελεύει αὐτὸν ἐκταθῆναι [12] εἰς μάστιγας καὶ λαμβάνει διακοσίους ῥάβδους, ὡς τοῦ λοιποῦ μήτε ἑαυτὸν γινώσκειν [13]· ἔνι δὲ ὅτε [14] διὰ τοῦτο ὁ μάγος οὗτος λαμβάνει [15] κἂν μίαν σταγόνα οἰκτιρμῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως [16]· τὸν δὲ ἅγιον βαστάσαντες εἰσήνεγκαν καὶ ἔρριψαν ἐν τῇ εἱρκτῇ [17] πρὸς τὸν ἑταῖρον [18] αὐτοῦ.

54. Μαθὼν δὲ ὁ ἀρχιμάγος, ὅτι Σαβώριος [1] εἷς τῶν ἀρχόντων παρεγένετο εἰς τὴν κώμην αὐτοῦ [2] τὴν λεγομένην Μακελλαρίαν, — καλῶς δὲ [3] καὶ ἐκλήθη Μακελλαρία· οἱ γὰρ ἄρχοντες αὐτῆς χείρους ὑπῆρχον τῶν μακελλαρίων. — ἔλαβεν αὐτοὺς καὶ ἐκόμισε [4] πρὸς αὐτόν. Ἰδὼν δὲ αὐτοὺς ὁ ἄρχων ἔφη αὐτοῖς [5]· « Φάγετε αἷμα καὶ προσκυνήσατε τῷ ἡλίῳ καὶ ἀπολύω ὑμᾶς, ἵνα μὴ ἀποθάνητε· φείδομαι γὰρ τοῦ γήρους ὑμῶν. » Οἱ δὲ ἅγιοι μιᾷ φωνῇ εἶπον πρὸς αὐτόν [6]· « Σὺ φάγε αἷμα, κύον αἱμοπότα, ὅτι φανερῶς καὶ κρυπτῶς αὐτά [7] σου εἰσὶ [8] τὰ ἔργα. » Ὁ δὲ ἀρχιμάγος [9] πικρῶς ἐπέκειτο αὐτοῖς τοῦτο ποιῆσαι. Μὴ θελόντων δὲ αὐτῶν [10] ὑπακοῦσαι, ἐκέλευσεν αὐτοὺς μαστίζεσθαι.

55. Τινὲς δὲ τῶν περιεστώτων φειδόμενοι αὐτῶν ἔλεγον λαθραίως πρὸς αὐτούς [1]· « Θέλετε [2] φέρωμεν ὑμῖν ἕψημα [3] εἰς τύπον αἵματος καὶ πίνετε ἔμπροσθεν αὐτοῦ, καὶ οὐκ ἀποθνήσκετε εἰς τὰς ἀνάγκας ταύτας. » Ἐβόησαν δὲ οἱ ἅγιοι [4] καὶ εἶπον· « Μὴ γένοιτο ἡμῖν μιᾶναι τὸ γῆρας ἡμῶν καὶ καλύψαι τὴν πίστιν ἡμῶν καὶ τὴν ἀλήθειαν ἕνεκεν ἀνθρώπων ἀνόμων [5] καὶ παραπικραινόντων τὸν Θεόν [6]. » Καὶ πάλιν ἐκέλευσεν αὐτοὺς μαστίζεσθαι πρὸς τεσσαράκοντα καὶ [7] λέγει αὐτοῖς· « Κελεύω ἐνεχθῆναι

52. — 1. *om.* D, L, Q. — 2. ὁ ἀ. *om.* D, L. Q. — 3. δὲ *om.* D, L, Q. — 4. ἀχθῆναι Q. — 5. τ. π. α. ἀ. Q. — 6. ἠνάγκαζεν B. ἠνάγκαζον D, L, Q. — 7. ἀρν. αὐτὸν D. — 8. καὶ λέγει Q. — 9. *om.* D, L, Q. — 10. εἰς ὀλίγον D, L. — 11. *om.* D. — 12. ἔκραξεν Q. — 13. μάνεντι N. — 14. πάσῃ *add.* D, L, Q. — 15. *om.* D. — 16. πρὸς αὐτὸν *add.* D. — 17. αὐτῷ Q. — 18. *om.* D, L, Q. — 19. δὲ *add.* Q, τε *add.* D, L. — 20. μανιχαῖος *add.* Q. — 21. *om.* D, L, Q. — 22. τῷ προσώπῳ D, L. — 23. ἤρτηντε D, ἀπὸ *add.* Q. — 24. εἶπεν D. — 25. ἐφόνευσεν L. — 26. ἁγίου μου B. D, L, Q. — 27. *om.* Q, ἐμοῦ N. — 28. τῶν *add.* Q.

53. — 1. (δ. τ.) οὖν D, L, Q. — 2. ταῦτα *add.* D, L, Q. — 3. ῥοῶν ῥάβδοις D, L, Q. — 4. αὐτὸν γνῶναι Q. — 5. καταμαθόντα Q. — 6. αὐτῶν *add.* D. — 7. παθώντι Q. — 8. σαγὴν D. — 9. π. κ. *om.* D, L, Q. — 10. *om.* D, L. — 11. αὐτὸν B. — 12. ἐκτανθῆναι D, L, Q. — 13. μηδὲ γινώσκειν ἑαυτόν D, L. — 14. ἐνίοτε δὲ D, L. — 15. βλέπει D, L. — 16. τῆς ἀ. ἡμ. D, L, (λαμβάνει-ἀντάπ.) λαβεῖν ῥάβδους ρ' Q. — 17. εἰς τὴν εἱρκτὴν D, L, Q. — 18. μετὰ τοῦ ἑτέρου Q.

54. — 1. τοῦ μεαβὼρ *add.* D, L. — 2. αὐτῶν B. — 3. γὰρ Q. — 4. λαβὼν τοὺς ἁγίους ἀπήγαγεν Q. — 5. αὐτοὺς B, πρὸς αὐτοὺς Q. — 6. B, D, L. Q, αὐτῷ N. — 7. ταῦτα D, L. — 8. ἐστιν D, L. — 9. *om.* D, L, Q. — 10. *om.* N.

55. — 1. τοὺς μάρτυρας Q. — 2. καὶ *add.* Q. — 3. ἔψεμα D, L, B, ἐψέμου N. — 4. οἱ δὲ ἅγιοι ἐβόησαν Q. — 5. παρανόμων N. — 6. τ. Θ. *om.* D, L, Q. — 7. (καὶ-καὶ) ὁ δὲ ἀρχιμάγος Q.

κρέας [8] καθαρόν, οὐχὶ πνικτὸν ἢ εἰδωλόθυτον· καὶ φάγετε καὶ ἀπολύω ὑμᾶς. » Εἶπον δὲ πρὸς αὐτὸν [9] οἱ ἅγιοι· « Καὶ ἔστι καθαρὸν κρέας [10] ἐκ τῶν χειρῶν σου [11] τῶν μεμιασμένων καὶ ἀκαθάρτων; ὅλως γὰρ τῶν λόγων σου ἀκοῦσαι οὐκ ἀνεχόμεθα, ὅτι πλήρεις ἀνομίας εἰσὶ καὶ δόλου, καὶ πάντα δὲ ὅσα λέγεις ἡμῖν, περιττὰ ὑπάρχουσι. [12] Δὸς οὖν συντόμως τὴν [13] ἀπόφασιν περὶ τοῦ θανάτου ἡμῶν [14]. »

56. Τότε [1] ἐποίησαν ἀμφότεροι συμβούλιον, ὅ τε ἄρχων καὶ ὁ ἀρχιμάγος [2], συνάξαι χριστιανοὺς ἄνδρας τε καὶ γυναῖκας, ἐλευθέρους [3] καὶ δούλους, ἵνα λίθους [4] αὐτοῖς [5] βάλωσιν [6], καὶ κελεύουσιν [7] ἀχθῆναι ἀπὸ [8] τῆς πόλεως καὶ τῶν πέριξ χωρίων [9]· ὡς δὲ [10] ἤχθησαν ἱκανοί, ἠνάγκαζον [11] αὐτοὺς τοῦ ἐξαμαρτεῖν καὶ ἐκχέαι αἷμα ἀθῷον [12]· κατεσχέθη δὲ καὶ ἡ θαυμασία ἐκείνη [13] γυνὴ ἡ μακαρία Ἰσδανδούλ [14]· ὅθεν [15] κρατοῦσι [16] τὸν μακάριον Ἰωσήφ, ἱστῶσιν [17] αὐτὸν ὀρθὸν ἐν μέσῳ [18] πάντων [19] μὴ ἔχοντα εἰδέαν ἀνθρώπου. Κατείχετο δὲ ὑπὸ δύο [20], ἵνα μὴ πέσῃ. Καὶ διανεύει τῷ ἀρχιμάγῳ ἐλθεῖν πρὸς αὐτόν [21].

57. Ὁ δὲ ἀνόσιος μετὰ σπουδῆς μεγάλης ἀναστὰς ἤγγισε τῷ ἁγίῳ, νομίσας ἀπόρρητόν τι [1] ἀκοῦσαι [2] παρ' αὐτοῦ. Τότε [3] πληρώσας ὁ ἅγιος [4] τὸ στόμα αὐτοῦ πτυέλου, ὡς εἶδεν ἐγγίσαντα αὐτόν [6], ἐνέπτυσεν εἰς [7] τὸ πρόσωπον αὐτοῦ [8] καὶ ἐπλήρωσεν αὐτὸ [9] ὅλον πτυέλου [10] καὶ λέγει αὐτῷ· « Μιαρὲ [11] καὶ ἀκάθαρτε, οὐκ αἰσχύνῃ, ὅτι νεκρός εἰμι καὶ πάλιν ἵσταμαι ἐρωτηθῆναι; οὐκ ἔγνως ἀπὸ τῶν τοιούτων καὶ [12] τοσούτων βασάνων, ὧν ἐνεδείξω μοι, ὅτι ἐγὼ ἐν τῇ ἀληθείᾳ μου ἵσταμαι καὶ καρτερῶ ἐν αὐτῇ [13] ἕως θανάτου; » Πάντες δὲ οἱ ἄρχοντες καὶ οἱ [14] μάγοι, ὅσοι συνεκαθέζοντο τῷ παρανόμῳ ἄρχοντι, ἐγέλασαν μεγάλως καὶ ὠνείδισαν τὸν ἐμπτυσθέντα [15] λέγοντες αὐτῷ· « Τίς σε ἠνάγκασεν [16] ἀπελθεῖν ἔγγιστα αὐτοῦ καὶ καταισχυνθῆναι [17] αἰσχύνην μεγάλην [18] ἐνώπιον πάντων [19]; » Παραχρῆμα δὲ ἐξέβαλον τὸν ἅγιον λιθασθῆναι καὶ μετ' αὐτοῦ χριστιανοὺς ὡς πεντακοσίους μετὰ θλίψεως καὶ πολλῶν ἀναγκῶν· καὶ ὀρύξαντες τόπον μικρὸν ἕως τῶν ψυῶν αὐτοῦ, δήσαντες αὐτὸν [20] ἐκάθισαν [21] ἐπ' [22] αὐτῷ· καὶ ἤρξαντο τύπτειν [23] τοὺς ὄχλους ἵνα λιθοβολήσωσιν [24] αὐτόν.

58. Ἠνάγκαζον δὲ [1] καὶ τὴν μακαρίαν Ἰσδανδούλ [2] ῥίπτειν κατὰ τοῦ ἁγίου λίθους. Ἡ δὲ καρτερικῶς καὶ γενναίως [3] εἰς τὴν ἀλήθειαν τῆς πίστεως αὐτῆς ἐνισταμένη [4], ἀνεβόησεν φωνῇ μεγάλῃ λέγουσα πρὸς τοὺς ἄρχοντας· « Οὐδέποτε γυναῖκες ἄνδρας ἀπέκτειναν, καθὼς ὑμεῖς οἱ ἀκάθαρτοι ἀναγκάζετε ἡμᾶς ποιῆσαι· ἀφέντες γὰρ [5] τοὺς πολέμους [6] τῶν ἐχθρῶν [7], μετὰ τῶν γυναικῶν πολεμεῖτε καὶ ἐν τῇ ἀργίᾳ ὑμῶν, πλήρης εἰρήνης οὔσης τῆς πατρίδος [8] ἡμῶν, διαφθείρετε ταύτην [9], εἰς τὴν ἔκχυσιν τοῦ ὁσίου καὶ ἀθῴου αἵματος ἀσχολούμενοι. » Οἱ δὲ ἀκούσαντες ταῦτα [10] ἔδησαν ὀβελίσκον εἰς μακρὸν κάλαμον καὶ λέγουσιν αὐτῇ· « Εἰ οὐ θέλῃς ῥῖψαι κατ' αὐτοῦ λίθον [11], κἂν ἐν τούτῳ κέντησον αὐτὸν [12] ὀλίγον, ἵνα ἀπαγγείλωμεν [13] τῷ βασιλεῖ, ὅτι ἐποίησας αὐτοῦ τὸ θέλημα [14]. » Ἡ δὲ θαυμασία ἐκείνη [15] γυνὴ πάλιν ἐβόησε φωνῇ μεγάλῃ καὶ εἶπεν· « Μὴ γένοιτό μοι τοῦτο ποιῆσαί ποτε [16]· μᾶλλον

8. κρέα Q. — 9. αὐτῷ N. — 10. κρέα B, D, N, Q. — 11. ὑμῶν Q. — 12. (μεμ.-ὑπάρχουσι) *om.* L, ἀκ. καὶ μ. πάντα γὰρ ὅσα ἂν λέγεις ἡμῖν περισσά ἐστιν Q, ὦ παμμίαρε καὶ ἀκάθαρτε D. — 13. *om.* D, L, Q. — 14. *om.* N.

56. — 1. καὶ D, L. — 2. (ἐποίησαν-ἀρχ.) ὁ ἄρχων καὶ ὁ ἀρχιμάγος σ. ποιήσαντες τοῦ Q. — 3. τε *add.* Q. — 4. D, L, λίθοις B, N. — 5. *om.* D, L. — 6. ἕνα τῶν ἁγίων ἐκεῖ *add.* D, L, λιθάσαι ἕνα τ. α. ἐκεῖ Q. — 7. καὶ κελεύει Q, κελεύει οὖν D, L. — 8. *om.* D, L, Q. — 9. χριστιανοὺς *add.* D. — 10. (ὡς δὲ) καὶ D, L, Q. — 11. ἠνάγκασαν οὖν D, L, Q. — 12. αἷμα ἐ. ἀ. Q, L, ἀ. ἐκχέαι D. — 13. *om.* D, L, Q. — 14. (ἡ μ. Ἰ.) Ἠσδανδούχ Q, Ἰησδανδοὺλ L, Ἠϊσδανδούλ D. — 15. καὶ D, L, Q. — 16. κρατήσαντες Q. — 17. ἵστησιν Q. — 18. εἰς τὸ μέσον D, L, Q. — 19. μάντων Q. — 20. ἀνδρῶν *add.* Q. — 21. ὁ ἅγιος *add.* L, Q.

57. — 1. *om.* L. — 2. ἀκούειν B, L, Q, ἀκούειν ἀπόρρητόν τι D. — 3. *om.* D, L, Q. — 4. (ὁ ἅγ.) δὲ D, L, Q. — 6. ὁ ὅσιος *add.* D, L, ὁ μάρτυς *add.* Q. — 7. αὐτοῦ Q. — 8. *om.* Q. — 9. αὐτὸν Q. — 10. π/// υέλου N, *om.* D, L, Q. — 11. ἀσεβῆ Q. — 12. τ. κ. *om.* D, L, Q. — 13. ἐν αὐτῇ *om.* B, Q. — 14. *om.* D, Q. — 15. ἐμπτυσμένον D, L. — 16. ἠνάγκαζεν D, L, Q. — 17. κατησχύνθη D, L, Q. — 18. αἰσχύνη μεγάλη D, L. — 19. αὐτῶν D, L. — 20. τε L, *om.* D, Q. — 21. αὐτὸν *add.* D, L, Q. — 22. ἐν D, L, Q. — 23. τ. ἤ. D, L. — 24. λιθωβολωσιν L.

58. — 1. αὐτοὺς τοὺς χριστιανοὺς *add.* D. — 2. B, D, Εἰσδανδοὺχ Q, Ισδανδοὺχ N, Ἠησδανδουλ L. — 3. μεγάλως D, L, Q. — 4. ἐνισταμένης Q. — 5. δὲ Q, D, *om.* L. — 6. τὸν πόλεμον D, L, Q. — 7. ἐθνῶν B. — 8. τὴν πατρίδα D, L, Q. — 9. *om.* D, L, Q. — 10. αὐτὰ Q. — 11. λ. ῥ. κ. αὐτοῦ D, L, Q. — 12. αὐτῷ B, κἂν *add.* D, L. — 13. ἀποστείλωμεν D, L, Q. — 14. τ. θ. αὐτοῦ D, L, Q. — 15. *om.* D, L, Q. — 16. δὲ D, L, Q.

γὰρ[17] ἐν τῇ καρδίᾳ μου αὐτὸν[18] ἐμπήσσω ἤπερ κατὰ τοῦ σώματος τοῦ ἁγίου[19] ἀθλητοῦ τοῦ Χριστοῦ ὠθῶ αὐτόν[20]. Ἐὰν οὖν[21] ἐλάβετε ἐξουσίαν[22] τοῦ κἀμὲ ἀποκτεῖναι, ἰδοὺ προθύμως σὺν αὐτῷ ἀποθνήσκω, ἐπεὶ[23] οὐ κοινωνῶ εἰς τὴν ἀδικίαν ταύτην τοῦ δικαίου καὶ ἀθῴου αἵματος. » Καὶ[24] ἐν τούτῳ ἐνεκαρτέρησεν[25].

59. Ἐπὶ τοσοῦτον δὲ τὸν ἅγιον[1] ἐλιθοβόλησαν[2], ἕως οὗ ὑπερῆραν οἱ λίθοι τὴν κεφαλὴν αὐτοῦ καὶ ἐγένοντο[3] ὥσπερ βουνὸς κύκλῳ αὐτοῦ. Ἡ δὲ κεφαλὴ αὐτοῦ μόνη ὥσπερ αἷμα ἐθεωρεῖτο καὶ ὁ ἐγκέφαλος αὐτοῦ[4] <κατέρρει[5]>. Οὕτως οὖν βασανιζόμενος καὶ ἐγκαρτερῶν[6], εἷς[7] τῶν ἀρχόντων θεασάμενος[8] ἔτι τὴν κεφαλὴν αὐτοῦ κινουμένην, ὡς δῆθεν ἐντολὴν ποιῶν, ἐκέλευσε τῷ δημίῳ[9], καὶ λαβὼν λίθον μέγαν[10] ἔρριψε κατ' αὐτῆς, καὶ παραχρῆμα παρέδωκεν τὴν ψυχὴν τῷ Κυρίῳ[11]. Τότε[12] ἐκάθισαν[13] φύλακας ἐπ' αὐτῷ ἕως ἡμερῶν τριῶν, καὶ τῇ τετάρτῃ ἡμέρᾳ[14] σεισμὸς ἐγένετο ἕωθεν καὶ ἦχος μέγας καὶ βροντή[15], καὶ χάλαζα καὶ ἄνεμοι σφοδροὶ καὶ ἀστραπαὶ φοβεραί, ὥστε πάντας πτοηθῆναι καὶ τρομάσαι[16]· τοὺς δὲ[17] φύλακας πῦρ κατελθὸν ἐκ τοῦ οὐρανοῦ κατέκαυσε καὶ ὁ βουνὸς τῶν λίθων διεσπάρη καὶ τὸ τίμιον καὶ[18] ὅσιον λείψανον[19] ἀνελήφθη[20], εἴτε δὲ ὑπὸ Θεοῦ εἴτε ὑπὸ ἀνθρώπων[21] ἐλήφθη[22], ὁ Θεὸς οἶδεν· οὔτε γὰρ εὑρέθη που οὔτε ἠκούσθη εἶναι[23] πώποτε[24].

60. Ἐτελειώθη δὲ[1] ὁ ἅγιος μάρτυς καὶ πρεσβύτερος Ἰωσὴφ ἡμέρᾳ παρασκευῇ, ἐν τῇ πρώτῃ ἑβδομάδι τῆς ἁγίας πεντηκοστῆς, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν[2]. Τὸν δὲ ἅγιον[3] ἀθλοφόρον[4] τοῦ Χριστοῦ Ἀειθαλᾶν ἔλαβον ὅ τε ἄρχων καὶ ὁ ἀρχιμάγος[5], καὶ ἀπήγαγον αὐτὸν εἰς πατρίδα καλουμένην Βιθναδαρᾶ[6] εἰς κώμην μεγάλην σφόδρα ὀνόματι Ῥισγαθάρ[7]· καὶ συναγαγόντες ὁμοίως χριστιανούς, ἄνδρας τε καὶ γυναῖκας[8], δούλους τε καὶ ἐλευθέρους[9], ἀπήγαγον σὺν τῷ ἁγίῳ[10] εἰς βουνὸν ὑψηλόν· καὶ ῥίψαντες αὐτὸν ἐκεῖ[11] δεδεμένον χαμαί, ἠνάγκαζον τὰ πλήθη τῶν ἀθροισθέντων[12] χριστιανῶν βάλλειν κατ' αὐτοῦ[13] τοὺς λίθους[14]· καὶ τοσοῦτον ἔρριψαν[15] τοὺς λίθους κατ' αὐτοῦ[16], ἕως ὅτου[17] ὥσπερ βουνὸν μέγαν[18] συνῆξαν ἐπ' αὐτόν[19]. Καὶ οὕτως ἐντίμως καὶ[20] μακαρίως[21] ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀειθαλᾶς[22] παρέδωκεν τὴν ψυχὴν τῷ[23] Χριστῷ[23]. Ἐκάθισαν δὲ καὶ[24] ἐπ' αὐτὸν[25] φύλακας ἡμέρας δύο[26]. Ἐν δὲ τῇ τρίτῃ νυκτὶ ἐλθόντες μοναχοί τινες[27] ἔκλεψαν αὐτοῦ τὸ τίμιον καὶ ὅσιον[28] λείψανον, καὶ μετὰ πολλῆς[29] τιμῆς κηδεύσαντες κατέθεντο[30] εἰς ἐπίσημον τόπον — ἦσαν γὰρ πολλοὶ μοναχοὶ[31] καὶ[31] ἀσκηταὶ κεκρυμμένοι ἐκεῖσε[32] — ὅθεν[33] μέγα καὶ θαυμαστὸν σημεῖον[34] ἐγένετο ἐκεῖ[35] διὰ τὸν ἅγιον. Ἐν γὰρ τῷ τόπῳ, ἐν ᾧ ἐλιθάσθη[36], ἀνεφύη[37] δένδρον μέγα μυρσίνης, ὅπερ εἰς θεραπείαν ἐγένετο πάσῃ τῇ χώρᾳ ἐκείνῃ. Μετὰ δὲ ἔτη πέντε[38] φθόνῳ φερόμενοι οἱ ἕλληνες ἔκοψαν αὐτό. Πολλοὶ δὲ χριστιανοὶ ἐμαρτύρησαν καὶ εἶπον ὅτι· « Ἐπὶ πλείστας νύκτας εἴδομεν[39] ἐν αὐτῷ τῷ τόπῳ φανερῶς πλῆθος ἀγγέλων ἁγίων[40] ἀνιόντων[41] καὶ κατιόντων[42]

17. αὐτῷ *add.* Q. D. — 18. τούτου *add.* B. — 19. ὠ. αὐτόν *om.* D, L, Q. — 20. *om.* D, L, Q. — 21. ἐξ. ἐλ. D, L, Q. — 22. καὶ D, L, Q. — 23. τ. δ. *om.* D, L, Q. — 24. τοῦ ἀθ. α. κ. D, L, *om.* Q. — 25. ἐκαρτέρησεν L, ἐκ. ἡ γυνὴ D, δὲ οὐκ ἐβιάσαντο αὐτήν Q.

59. — 1. αὐτὸν L, D, *om.* Q. — 2. αὐτὸν *add.* Q. — 3. ἐγένετο Q. — 4. ὅτι D, L. — 5. L, Q, *om.* B, N, ἐκατέρρει D. — 6. (οὕτως-ἐγκ.) *om.* D, L, Q. — 7. οὖν *add.* D, L. — 8. θεασάμενος δὲ εἷς τῶν ἀρχόντων Q. — 9. ἑνὶ τῶν δημίων D. — 10. μέγα B. — 11. τ. κ. *om.* D, L, Q. — 12. *om.* D, L, Q. — 13. ἐκάθισεν D, δὲ *add.* D, L, Q. — 14. *om.* D, L. — 15. βρονταὶ D, L, Q. — 16. τρομάξαι D, L. — 17. καὶ τοὺς D, L. — 18. τ. κ. *om.* D, L, Q. — 19. τοῦ ἁγίου *add.* D, L, Q. — 20. ἀνελείφθην Q, ἐλείφθη B, D, L. — 21. ἀνθρώπου Q, (εἴτε-ἀνθ.) *om.* D. — 22. *om.* Q, D. — 23. *om.* D, Q, L. — 24. πούποτε D, ποτε L.

60. — 1. *om.* L. — 2. (ἐν-ἡμῶν) *om.* Q. — 3. *om.* D, L, Q. — 4. *corr. rec.* L, ἀθλοφόρου. — 5. ἀρχιμ. καὶ ὁ ἄρχων Q. — 6. Βιθναδαρᾶν B, Βιθνοαδαρὰ D, L, Βιθνωαδαραί Q. — 7. Ῥισθιγὰρ D, L, (ὀ. Ῥ.) *om.* Q. — 8. καὶ *add.* L. — 9. ἐλ. καὶ δούλους L, Q. — 10. σ. τ. ἁ. *om.* D. — 11. ῥίψαντες ἐκεῖ αὐτὸν Q. — 12. ἀθρυσμένων D, ἠθροισμένων L. — 13. βαλεῖν κ. α. B, βαλεῖν ἐπ' αὐτὸν Q, βάλλειν αὐτὸν D, L. — 14. τοῖς λίθοις D, L. — 15. καὶ ἔρριπτον D, L, Q. — 16. αὐτόν L. — 17. οὗ D, L, Q. — 18. μέγαν β. Q, βουνὸς μέγας D, L. — 19. (ἐπ' αὐτόν) καὶ ἀνέστησαν ἐπ' αὐτῷ D, L. καὶ ἐπανέστησαν ἐπάνω αὐτοῦ Q. — 20. (ἐ. κ.) *om.* D, L, Q. — 21. μακαρίως D, L, ὁ μακάριος Q. — 22. (ὁ-Ἀ.) καὶ αὐτὸς D, L. Q. — 23. *om.* D, L, Q. — 24. *om.* D, L. — 25. αὐτῷ Q. D. L. — 26. δύο ἡμέρας D, L, Q. — 27. *om.* D, L. — 28. αὐτοῦ τὸ ὅσιον D, L, τὸ ὅσιον αὐτοῦ Q. — 29. δόξης καὶ *add.* B. — 30. *om.* B. — 31. *om.* D, L. — 32. ἐκεῖ D, L. — 33. (εἰς-ὅθεν) σημεῖον δὲ Q. — 34. *om.* Q. — 35. ἐκεῖσε D, L, Q. — 36. ἐλιθάσθην Q. — 37. ἐφύει Q. — 38. πέντε ἔτη L. — 39. εἴδαμεν ν. D, ἴδωμεν ν. Q, οἴδαμεν ν. L. — 40. *om.* D, L, Q. — 41. ἀνιέντων Q. — 42. κ. κ. *om.* Q.

καὶ δοξαζόντων τὸν Θεόν. » Ἐτελειώθη δὲ[43] ὁ ἅγιος καὶ ἔνδοξος ἱερομάρτυς τοῦ Χριστοῦ[44] Ἀειθαλᾶ μηνὶ ἰουνίῳ τεσσαρεσκαιδεκάτῃ[45] εἰς τὴν συμπλήρωσιν τῆς ἁγίας πεντηκοστῆς[46], βασιλεύοντος μὲν[47] τῶν Περσῶν Σαβωρίου[48], κατὰ δὲ ἡμᾶς[49] βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις[50] ἅμα[51] τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ[52] ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ[53] εἰς τοὺς[54] αἰῶνας τῶν αἰώνων. Ἀμήν[55].

43. *om.* L. — 44. (καὶ-Χριστοῦ) *om.* L. D. — 45. τεσσαρισκαιδεκάτη B. D. — 46. (ἐτελ.-πεντ.) ἐτελειώθησαν δὲ οἱ ἅγιοι μάρτυρες τοῦ Χριστοῦ Ἀκεψιμᾶς, Ἀειθαλᾶς καὶ Ἰωσὴφ μηνὶ νοεμβρίῳ Q. — 47. *om.* Q. — 48. Σ. τῶν Π. Q. — 49. (μὲν-ἡμᾶς) *om.* B. — 50. κ. ἡ π. *om.* Q. — 51. σὺν Q. — 52. ζ. καὶ παναγίῳ Q. — 53. (βασιλεύοντος μὲν-καὶ) ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις (νῦν καὶ *add.* D) D. L. — 54. ἑξῆς καὶ ἀτελευτήτους ἅπαντας *add.* D. — 55. (πνεύματι-ἀμήν) *om.* Q *mutil.*

XII

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΕΝΔΟΞΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΑΚΕΨΙΜΑ, ΙΩΣΗΦ ΚΑΙ ΑΕΙΘΑΛΑ

* C. fol. 39v 1. * Ἐν ἔτει ἑβδόμῳ καὶ τριακοστῷ τοῦ καθ' ἡμᾶς διωγμοῦ ἐξῆλθε δόγμα καθ' ὅλης τῆς ὑπὸ Πέρσας τελούσης γῆς, ὥστε πάντας τοὺς εὑρισκομένους χριστιανοὺς ἐπιμένοντας τῇ οἰκείᾳ θρησκείᾳ ποικίλαις καὶ διαφόροις κολάσεσιν αἰκιζομένους τῇ τοῦ θανάτου ψήφῳ ὑπάγεσθαι. Τοῦ διωγμοῦ τοίνυν κραταιωθέντος τῇ τῶν λεγομένων παρ' αὐτοῖς μάγων ὠμότητι — αὐτοῖς γὰρ τὸ περὶ ταῦτα κράτος παρὰ τοῦ τηνικάδε βασιλεύοντος Σαβωρίου ἐνεχειρίσθη, — οὐκ ὀλίγοι τὸ τοῦ δόγματος θεοστυγὲς καταπτύσαντες στεφάνῳ τῷ τοῦ μαρτυρίου[1] δι' ὑπομονῆς κατεκοσμήθησαν. Οἱ οὖν ἀρχηγοὶ τῶν μάγων τὸ τοῦ βασιλέως ἐξουθενούμενον δόγμα βλέποντες καὶ τὰ τῆς πλάνης αὐτῶν ἔθιμα παρὰ τῶν τῆς εὐσεβείας ἀγωνιστῶν καταλυόμενα ἐπιστρέφοντάς τε πολλοὺς τῆς οἰκείας ἐξαπάτης πρὸς τὴν ἐν Χριστῷ ἀληθῆ λατρείαν, ἡλίου τε καὶ πυρὸς τῶν παρ' αὐτῶν σεβομένων τὴν προσκύνησιν ἀθετουμένην, ἀντὶ δὲ ἀκολασίας ἁγνείαν ἀσπαζομένην καὶ μιαιφονίαν μὲν ἐξωθουμένην, εἰρήνην δὲ ἀντεισαγομένην, παντὸς δὲ ζῴου καθαροῦ θυσίαν τε καὶ σφαγὴν ἀποδοχῆς ἀξιουμένην, κατὰ τὸ δὴ λεγόμενον, ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν καὶ οὐδὲν ἀπόβλητον· αὐτοὶ γὰρ οὗτοι οἱ τῆς εἰδωλομανίας προασπισταὶ μετὰ τῆς ἄλλης ἀσεβείας καὶ διττὰς πρεσβεύοντες ἀρχὰς κατὰ τοὺς τῶν Μανιχαίων λήρους τῇ μὲν πονηρᾷ τὰ[2] ὁρώμενα, τῇ δὲ ἀγαθῇ τὰ νοούμενα[3] ἰδιαζόντως ἑκάστῃ χώρᾳ ἀπένεμον.

2. Ὡς οὖν εἴρηται, ἅπαντα ταῦτα σὺν ἀκριβείᾳ μαθόντες ἀνήνεγκαν τῷ κρατοῦντι καὶ τοῖς περὶ αὐτὸν ἄρχουσιν· οἳ καὶ τῶν λεγομένων ἀκούσαντες, οὐδὲν ἔλαττον τῆς ἐν δρυμῷ ἀμφιλαφοῦς ἐκφλογώσεως τῷ κατὰ χριστιανῶν θυμῷ ἐξεκαύθησαν. Ἐν τῷ καιρῷ οὖν τούτῳ κατεσχέθη ὁ μακαριώτατος ἐπίσκοπος Ἀκεψιμᾶς, ἐκ πατρίδος μὲν ὁρμώμενος Νασσὸν καλουμένης, πρεσβύτης δὲ λίαν καὶ προβεβηκώς, ὀγδοηκοστὸν ἔτος ἄγων, ἀστεῖος μὲν τῷ σώματι, ἐρρωμενέστερος δὲ τὴν ψυχὴν καὶ τῶν ἀφ' ἡλίου ἀνατολῶν εὐγενείᾳ τιμώμενος, φιλόξενος κατὰ τὸν Ἀβραάμ, καὶ πᾶσι πένησι καὶ δεομένοις τὰ δέοντα ἐπιχορηγῶν, τῇ δὲ χάριτι τοῦ ἐνοικοῦντος αὐτῷ[1] πνεύματος πολλοὺς μὲν ἕλληνας ἐκ τῆς ἐν ἀγνοίᾳ περιπλανήσεως πρὸς τὴν ἀληθῆ τοῦ Χριστοῦ γνῶσιν μετήγαγε καὶ ταῖς ἐντολαῖς αὐτοῦ ἀμέμπτως ἐμπολιτεύεσθαι ἐδίδασκεν· ἐγκρατὴς δὲ ἦν οὐ μόνον κατὰ τὴν σωματικὴν ἄσκησιν, ἄρτῳ καὶ ὕδατι ἀρκούμενος, ἀλλὰ καὶ πάσης κακίας καὶ παντὸς ἀπεχόμενος πονηροῦ πράγματος κατὰ τὸν δίκαιον Ἰώβ· ἐν δὲ ταῖς προσευχαῖς τοσοῦτον τὸ εὐκατάνυκτον ἐκέκτητο, ὡς μὴ μόνον τὰς ὄψεις ἀλλὰ καὶ τὸ ἔδαφος, ἐν ᾧ τὴν στάσιν ἐποιεῖτο, τοῖς δάκρυσιν καταβρέχειν.

3. Πρὸ δὲ τοῦ κατασχεθῆναι αὐτὸν συνέβη ὑπὸ παιδὸς ἀνατεθραμμένου παρ' αὐτοῦ, ὡς τοῖς πολλοῖς εἴθισται, τὴν κεφαλὴν ψηλαφῶντος φθειρῶν ἀποκαθαίρεσθαι, ἀσπάσασθαί τε αὐτὴν καὶ ὡς ἐν προοράσει ἀνειπεῖν· « Μακαρία ἡ φαλάκρα αὕτη, ἥτις διὰ μαρτυρίου τελειωθεῖσα ἀθλοφορικὸν

1. — 1. μαρτυρίῳ C. — 2. *om.* C. — 3. νούμενα C.
2. — 1. αὐτοῦ C.

στέφανον ἀναδήσεται. » Ὁ δὲ ἀντασπασάμενος τὸ παιδίον· « Εἰσακουσθείης[1], ἔφη, ὦ τέκνον, καὶ τάχιον πληρωθείη τὸ διὰ τοῦ στόματός σου προφητικῶς εἰρημένον καὶ τῆς μερίδος ταύτης καὶ τοῦ κλήρου γένοιτό μοι καταξιωθῆναι. » Ἐπεὶ δὲ συμπαρῆν καὶ ἕτερός τις τῶν πλησιοχώρων ἐπισκόπων ἐν τῷ ταῦτα λέγεσθαι, ἅτε δὴ συνήθης καὶ φίλος τυγχάνων τοῦ μακαρίου Ἀκεψιμᾶ, ὡς ἐν παιδιᾷ πρὸς τὸ παιδίον ἐν μειδιάματι ἔφη· « Εἰ γινώσκεις, ὦ τέκνον, καὶ περὶ ἐμοῦ, τί μοι ἀποβήσεται, σὺν ἀληθείᾳ μὴ ἀποκρύψῃς. » Λέγει πρὸς αὐτὸν τὸ παιδίον· « Ὑποστρέψαντός σου πρὸς τὴν οἰκείαν πόλιν, οὐδαμῶς ἔτι ταύτης θεατὴς γενήσῃ· κατὰ γὰρ τὴν μονὴν τὴν λεγομένην Ἀθραδάραν τὸν βίον καταλύσεις μεθιστάμενος τῶν ἐνθένδε. » Ὃ δὴ καὶ τέλος εἴληφεν, ἑκατέρων τούτων τῆς ζωῆς τὸ πέρας δεξαμένων τρόπῳ ᾧ προειρήκει. Ἀλλὰ ταῦτα μὲν πρὸ τῆς κατασχέσεως.

4. Μετὰ δὲ τὸ συλληφθῆναι τὸν μακαριώτατον πρεσβύτην παριόντα διὰ τῆς οἰκίας, ἐν ᾗ τὰς μονὰς ἐποιεῖτο, εἶπέν τις αὐτῷ τῶν γνωρίμων ἐν κρυφίῳ· « Ἐντειλαί τι περὶ τοῦ οἴκου σου καὶ τὸν ὀφείλοντα τούτου ἐν περιλήψει γενέσθαι. » Ὁ δὲ ἐκτείνας τὴν χεῖρα εἶπεν πρὸς αὐτόν· « Οὐκ ἔστι μοι μερὶς οὐδὲ κλῆρος ἔτι ἐπίγειος· ταῦτα γὰρ πάντα ὁ Χριστός μοι[1] γενήσεται, ὃν ἐκ ψυχῆς ἠγάπησα. »

5. Ἀπαχθέντος δὲ αὐτοῦ ἐν τῇ πόλει Ἀρβὴλ καὶ τῷ τῶν μάγων ἀρχηγῷ, ᾧ ὄνομα Ἀδραχοσγάρ, παραστάντος, εἶπεν πρὸς αὐτόν· « Χριστιανὸς εἶ; » Ὁ δὲ φωνῇ μεγάλῃ ἐκραύγασε· « Χριστιανός εἰμι καὶ ἑνὶ μόνῳ Θεῷ ἀληθινῷ λατρεύω. » Ὁ τῶν μάγων ἀρχηγὸς ἔφη· « Οὐκοῦν ἀληθῆ εἰσι τὰ περὶ σοῦ ἠκουσμένα, ὅτι τῷ βασιλικῷ δόγματι, ὡς οὐκ ὤφειλες[1], ἀντιτάσσῃ διδάσκων ἕνα σέβειν Θεὸν καὶ αὐτῷ μόνῳ προσκυνεῖν; » Ὁ ἅγιος εἶπεν· « Πάντα ὅσα ἤκουσας περὶ ἐμοῦ ἀληθῆ εἰσιν· καὶ ἐν παρρησίᾳ ἕνα Θεὸν ἀληθινὸν κηρύσσω καὶ αὐτῷ προσκυνεῖν καὶ λατρεύειν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιεῖν πάντα ἄνθρωπον ἐκδιδάσκω, καθὼς αἱ παρ' ἡμῖν θεῖαι γραφαὶ διαγορεύουσιν. »

6. Ὁ δὲ ἀρχιμάγος πρὸς τὸν ἅγιον ἔφη· « Φρονήσεως τελείας περὶ σοῦ φήμη μέχρι τῶν ἡμετέρων ἀκοῶν ἐλήλυθεν, ἥτις τῷ βαθεῖ γήρᾳ μᾶλλον δοκιμωτέρα καθίσταται· τὸ γὰρ πολυχρόνιον πλείονα καὶ πεῖραν καὶ σύνεσιν εἴωθεν ἐπισπᾶσθαι· καὶ πῶς ἀρτίως καθάπερ παιδίον ἀνοηταῖνον καὶ περιπλανώμενον τῷ παρὰ πάσης Περσῶν κραταιᾶς βασιλείας προσκυνουμένῳ ἡλίῳ καὶ πυρὶ θρησκεύειν εἰς τὸ παντελὲς ἀνανεύεις; » Ὁ τοῦ Θεοῦ ἀρχιερεὺς εἶπεν· « Εἰς ἀδόκιμον νοῦν ἡ τῶν Περσῶν ἀρχὴ διελθοῦσα πολλὰ τῶν μὴ καθηκόντων διαπράττεται· ἐγκαταλιποῦσα γὰρ τὸν δημιουργήσαντα πάντα Θεὸν τοῖς ποιήμασιν αὐτοῦ λατρεύειν ταῖς ὑμετέραις εἰσηγήσεσιν καὶ ἐξαπάταις, ὑφ' ὧν τὸ τῆς πολυθείας ἀνόσιον[1] ἐξήπλωται, διαφερόντως ἀποπεπλάνηται. »

7. Ὁ τῆς κακίας εὑρετὴς καὶ τῆς ἀσεβείας ἄρχων ἔφη· « Τὴν παρὰ τοῦ μεγίστου βασιλέως κρατουμένην ἁγνὴν καὶ ἀληθείας ἐχομένην λατρείαν, ὦ δύσμορε, σὺ ἀνόσιον καὶ πεπλανημένην ἀποκαλεῖς; » Ὁ τοῦ Θεοῦ λάτρης Ἀκεψιμᾶς εἶπεν· « Ἐν τίνι οὖν ἀναφαίνεται ἡ καθαρότης καὶ ἡ ἀλήθεια τῆς καθ' ὑμᾶς διδαχῆς καὶ τίς ἀνθρώπων σῶας ἔχων τὰς φρένας τὸν ἀληθῆ Θεὸν ἀρνούμενος καὶ τοῖς κτίσμασιν αὐτοῦ θεῖον σέβας περιτιθεὶς ὡς θεοὺς προσκυνήσει; » Ὁ τῆς πλάνης ἀρχηγὸς ἀποκρίνεται· « Ἐν τῷ ἅπαξ τῷ βασιλικῷ ὑποκύψας θεσπίσματι προσκυνῆσαι τῷ ἡλίῳ πείσθητι· φείδομαι γάρ σου ἔτι τῆς πολιᾶς, ὡς τὸ αἰδέσιμον προβαλλομένης[1]· εἰ δὲ μὴ βουληθῇς πεισθῆναι, μετὰ πολλὰς τιμωρίας τὸ ἄθλιον γῆράς σου τῷ ᾅδῃ παραπέμψω. » Ὁ ἱερὸς πρεσβύτης λέγει· « Ἐμφραγείη σου τὸ ἀπύλωτον στόμα, κύον ἀναιδέστατε, ἵνα μὴ προσθείης ἔτι τοῦ λαλεῖν τοιαῦτα ἀσεβῆ ῥήματα· ἐγὼ γὰρ ἀπὸ νεότητός μου ἐν τῇ τοῦ Χριστοῦ ἀληθεῖ ἀνατεθραμμένος πίστει καὶ νῦν πρὸς βαθὺ γῆρας ἐλάσας, ὡς ὁρᾷς, φρόνημά τε στερρότερον τῇ πολυχρονίῳ πείρᾳ προσείληφα καὶ τῇ τῆς αἰωνίου ζωῆς ἐλπίδι, τῶν τε σαπρῶν σου λογίων καταφρονῶ καὶ τὰ σεβάσματά σου βδελυσσόμενος ἀποστρέφομαι. »

8. Καὶ θυμοῦ πλησθεὶς ὁ μιαρώτατος κελεύει τεινόμενον αὐτὸν ἀνηλεῶς μαστίζεσθαι· ἐπὶ τοσοῦτον δὲ ὠμότητος οἱ αἰκίζοντες προῆλθον, ὥστε τὸ ὑποκείμενον ἔδαφος τῇ τοῦ αἵματος φορᾷ φοινισσό-

3. — 1. εἰσακουσθεὶς C.
4. — 1. *supra lin.* U.
5. — 1. ὤφιλες C, ὄφελες U.
6. — 1. *in marg. prima manu* U.
7. — 1. προβαλλόμενος U.

μενον περιλιμνάζεσθαι. Καὶ δὴ ἐπὶ μικρὸν ἀνεθέντα τοῦτον δεδεμένον ἁλύσεσι δυσὶ προστάττει παραστῆναι τῷ βήματι καὶ πρὸς αὐτὸν λέγει· « Ποῦ ἐστιν ὁ Θεός σου, ὃν σέβῃ, Ἀκεψιμᾶ; ἐλθέτω καὶ ῥυσάτω σε ἐκ τῶν χειρῶν μου. » Ὁ μακάριος εἶπεν· « Ὁ ἐμὸς Θεός, βδελυρώτατε, τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν δυνατός ἐστιν καὶ ἐκ τῶν μιαιφόνων σου χειρῶν ἐξελέσθαι με· σὺ δὲ κατὰ τίνος ὑπερηφανεύῃ ἀναιδευόμενος, ὁ τεθνηκὼς κύων καὶ τῆς ἀληθοῦς ἐστερημένος ζωῆς, οἷα δὴ τῷ ζῶντι Θεῷ μὴ προσκυνῶν; διὰ τοῦτο ὡσεὶ ἄνθος τοῦ ἀγροῦ ἐκπεσὼν ξηρανθήσῃ καὶ τὸν αἰσθητὸν ὑπομείνας θάνατον μετὰ τῶν ἀσεβούντων ὑπὸ τοῦ Θεοῦ μου ἐξαναστήσῃ τῇ αἰωνίᾳ κρίσει καὶ τῷ ἀσβέστῳ πυρί, ἐφ' ᾧ σὺ πέποιθας, ψυχὴν καὶ σάρκα κολασθήσεσθαι παραδιδόμενος. » Ἐπὶ πλεῖον δὲ θυμωθεὶς ὁ ἀλιτήριος κελεύει μεθ' ἑτέρων ἁδροτέρων ἁλύσεων ἐπιδεθέντα τῇ ἐσωτέρᾳ καὶ ἀφεγγεῖ κατακλεισθῆναι φυλακῇ.

9. Τῇ δὲ ἑξῆς κατεσχέθη ὁ τιμιώτατος πρεσβύτερος Ἰωσὴφ ἐν κώμῃ καλουμένῃ Βιθλαθουβὰ τὴν παροικίαν ἔχων, ἣ διερμηνεύεται τοῦ γράφοντος καλῶς, καὶ αὐτὸς γηραιὸς πάνυ, ἑβδομηκοστὸν γὰρ ἔτος τῆς ἡλικίας ἦγεν, εὔοπτος μὲν τῷ τοῦ σώματος εἴδει, ὡραιότερος δὲ τὴν ψυχὴν καὶ ζῆλου πνέων ἀπαραβλήτου ὑπέρ τε τῆς εἰς Χριστὸν πίστεως καὶ τῆς περὶ αὐτὴν τὴν ἱερατείαν ἀκριβεστάτης διαβιώσεως. Τῇ δὲ αὐτῇ ἡμέρᾳ συνελήφθη καὶ ὁ εὐλαβέστατος διάκονος[1] Ἀειθαλᾶς, ἀπὸ κώμης ὁρμώμενος λεγομένης Βιθνοαδορά, καὶ αὐτὸς πολιὸς μὲν τὴν τρίχα, πολιὸς δὲ τῷ φρονήματι, ἑξηκοστὸν ἄγων τῆς ζωῆς αὐτοῦ ἔτος, ἀνὴρ ζέων τῷ πνεύματι καὶ τῆς τοῦ Χριστοῦ θείας πεπληρωμένος ἀγάπης, δραστήριός τε ὢν φύσει καὶ ἐλεγκτικὸς ἐν οἷς ἔδει τοὺς ἐλέγχους ἐπιφέρειν, φαιδρὸς τῷ προσώπῳ τὴν διάνοιαν ἐπιεικὴς καὶ διὰ πάντων τὸ σεμνὸν ἐνδεικνύμενος.

10. Ἀμφοτέρων δὲ κατενώπιον τοῦ τῶν μάγων ἀρχηγοῦ παραστάντων, φονίῳ τῷ ὄμματι πρὸς αὐτοὺς ἀπιδὼν ἔφη[1]· « Ὦ γένος δυστιμώρητον, ἵνα τί τοὺς τῶν ἀνθρώπων ἀφελεστέρους ἐξαπατῶντες ταῖς τῶν διδαχῶν ὑμῶν γοητείαις τῇ τῶν χριστιανῶν θρησκείᾳ προσάγετε; » Ἀποκριθεὶς δὲ ὁ πανόσιος Ἰωσὴφ εἶπεν· « Ἡμεῖς, ὦ δικαστά, οὔτε γοητεύειν ἐπιστάμεθα οὔτε ψευδολατρεῖν ἀνεμάθομεν, ἐν τῇ ἀληθείᾳ δὲ ἑστηκότες, πάντα ἄνθρωπον διδάσκομεν ταύτης ἔχεσθαι καὶ τὸν ὄντως ὄντα Θεὸν ἐπιγινώσκειν. » Ὁ ἀρχιμάγος ἔφη· « Καὶ ποία δοκεῖ ὑμῖν, ὦ ἀνόητοι, διδαχὴ τῆς ἀληθείας ἔχεσθαι; ἣν ὁ βασιλεὺς πάσης γῆς μετὰ τῶν αὐτοῦ μεγιστάνων ἀποδέχεται, ἢ ἥνπερ ὑμεῖς οἱ εὐτελεῖς καὶ ἀπερριμμένοι κηρύσσετε; » Ὁ τοῦ Χριστοῦ ἱερεὺς ἀποκρίνεται· « Ἐπειδὴ οὐκ εὐδόκησεν ὁ Θεὸς ἡμῶν ἐν τῇ ὑπερηφανίᾳ καὶ τῷ πλούτῳ τοῦ αἰῶνος τούτου ὁδὸν ἀνθρώπου εὐθύνεσθαι, διὰ τοῦτο[2] ἡμεῖς ἑαυτοὺς ταπεινοῦντες ἑκουσίως πτωχεύομεν σώματι καὶ πνεύματι, ὡς ἂν καὶ τῆς ἀκηράτου δόξης καὶ τῆς ἀδιαδόχου τύχοιμεν ἀπολαύσεως. »

11. Ὁ ἀρχιμάγος ἔφη· « Ἐπειδὴ ἀσθενείᾳ φύσεως τὸν ὄκνον περιθάλποντες ἀποποιεῖσθε τὸ ἐργάζεσθαι, οἰκίαν ἐξ οἰκίας ἐν σχήματι προσαιτῶν περιερχόμενοι, τούτου χάριν ὡς καύχημα τὴν πενίαν καὶ τὸ μέτριον περιφέρετε. » Ὁ τοῦ Θεοῦ ἄνθρωπος ἔφη· « Ἐπειδὴ ὠνείδισας ἡμᾶς ὀκνηροὺς ἀποκαλῶν ἢ ἀργούς, ὦ ταλαίπωρε, ἐρώτησον παρὰ τῶν εὖ εἰδότων καὶ μάθε, ὅτι εἰ ἐθελήσαμεν πλοῦτον περιποιήσασθαι ἐκ τῶν ἡμετέρων χειρῶν, ἐποριζόμεθα ἂν τοῦτον, ὃς τοῦ παρὰ σοὶ ἐξ ἐράνου τῆς τῶν πτωχῶν ἐργασίας ἐπισυνηγμένου τιμιώτερος ἂν τῷ ὄντι ὑπῆρξεν· ἡμεῖς μὲν γὰρ ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶ Θεῷ δανείζομεν μεταδιδόντες τοῖς χρείαν ἔχουσιν· ὑμεῖς δὲ τῇ πλεονεξίᾳ κρατούμενοι, οὐ μόνον οὐκ ἐργάζεσθε ἀλλὰ καὶ τὰ τῶν πενήτων ἀδεῶς ἁρπάζετε. » Ὁ τῆς ματαιότητος θεραπευτὴς ἀνταποκρίνεται· « Ὁ πλοῦτος παρὰ πᾶσιν ἐπιθυμητός ἐστι καὶ οὐδείς ἐστιν ὁ τούτου μὴ ἐφιέμενος. Τίς οὖν σοι πιστεύσει λέγοντι μηδαμῶς ἐρᾶν χρημάτων; »

12. Ὁ ἅγιος εἶπεν· « Οἱ ἀκριβῶς εἰδότες μᾶλλον δὲ πείρᾳ μεμαθηκότες, ὡς οὐ παραμένει τῷ βίῳ ὧδε κἀκεῖσε ῥέων καὶ μετερχόμενος καὶ οὐδ' αὐτῷ τῷ ἀγαπῶντι προσμένων, ὥσπερ οὐδὲ τὸ

8. — 1. U, *om.* C.

9. — 1. διάκονος *om.* C. *in marg.* U.

10. — 1. ὦ κακοθάνατοι ἵνα τί πλανᾶτε τοὺς ἀδρανεῖς ἀνθρώπους τῇ γοητείᾳ τῆς διδαχῆς ὑμῶν ποιοῦντες αὐτοὺς χριστιανούς; ἀποκριθεὶς ὁ ἅγιος Ἰωσὴφ εἶπεν· ἡμεῖς ἀληθεῖς ἐσμεν καὶ γοητείαν οὐκ οἴδαμεν ἀλλὰ ἀλήθειαν πάντα ἄνθρωπον διδάσκομεν ἐπὶ τὸ γνῶναι τὸν ζῶντα Θεόν. Ὁ ἀρχιμάγος ἔφη· καὶ ποία διδαχὴ μεγάλη ἐστὶν ω ἀνόητοι; αὕτη ἣν ὁ βασιλεὺς κρατεῖ πάσης τῆς γῆς ἢ ἣ ὁ C. *cetera usque ad c.* 52 *desunt.* — 2. τούτου U.

κενὸν δοξάριον τῇ τῶν ἀρχόντων ἐξουσίᾳ, οἷα γῆ καὶ σποδὸς πατούμενα καὶ εἰς ᾅδου τὴν κατασκήνωσιν ἔχοντα. »

13. Ὁ θεοστυγὴς ἔφη· « Ἐάσθωσαν τὰ τοιαῦτα λεγόμενα· περιττὴν γὰρ ἡγοῦμαι καὶ τὴν φθάσασαν ἀναμεταξὺ ἡμῶν ἐρώτησιν γενέσθαι· τοῦτό μοι μόνον ἀπόκριναι· ποιεῖς τὸ τοῦ βασιλέως θέλημα καὶ προσκυνεῖς τῷ μεγάλῳ θεῷ ἡλίῳ, σῴζων σεαυτὸν ἀπὸ τῶν πικρῶν βασάνων, ἃς ἑτοίμως ἔχω τοῦ ἐπενεγκεῖν σοι, ἢ οὔ; » Ὁ τρισόλβιος Ἰωσὴφ ἀπεκρίθη· « Χάριν τῆς τοιαύτης δεισιδαιμονίας μὴ πλανῶ, ὦ τρισάθλιε, ἵνα τὸν Θεόν μου καταλιπὼν τῷ αὐτοῦ ποιήματι προσκυνήσω, τῇ ἐμῇ ἐναντιούμενος διδαχῇ. »

14. Τότε θυμοῦ πλησθεὶς ὁ ἀσεβέστατος κελεύει καὶ αὐτὸν τεινόμενον μαστίζεσθαι, ἄνδρας δὲ δυνατοὺς ἐν ἰσχύϊ ῥάβδοις ἐκ ῥοῶν ἠκανθωμέναις τύπτειν αὐτὸν ἀφειδῶς οὕτως, ὥστε καὶ τῆς ἐνούσης ἀποστερῆσαι πνοῆς. Ὁ δὲ τοῦ Χριστοῦ γενναῖος ἀθλητὴς εἰς οὐρανὸν ἀνατείνας τὸ ὄμμα, τὸν ῥυόμενον κύριον ἀλαλήτως κατὰ διάνοιαν εἰς βοήθειαν ἐξεκαλεῖτο, δύναμιν αὐτῷ εἰς ὑπομονὴν τῶν δεινῶν παρασχεθῆναι.

15. Βλέπων δὲ τὸ σῶμα αὐτοῦ τῇ τοῦ αἵματος ἐκχύσει δι' ὅλου πορφυρούμενον· « Εὐχαριστῶ σοι, εἶπεν, Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ἡ ἐλπίς μου, ὅτι κατηξίωσάς με τοῦ διὰ μαρτυρίου βαπτίσματος, ἵνα τῷ οἰκείῳ αἵματι λουσάμενος τὸν ἐν ἐμοὶ τῆς ἁμαρτίας ῥύπον ἀποκαθάρω. » Οἱ δὲ δήμιοι ὀργῆς ἀναπλησθέντες τῇ τοιαύτῃ δοξολογίᾳ, ἐπὶ τοσοῦτον τὰς μαρτυρικὰς κατέξαινον σάρκας, ὥστε μηδ' ὁπωσοῦν ἐν τῷ σώματι αὐτοῦ τόπον ὑγιῆ ἐπαφεῖναι. Εἶτα δυσὶν ἁλύσεσι δεσμήσαντες πρὸς τὴν ἐσωτέραν εἰσάγουσιν εἱρκτήν, ἐν ᾗ ὁ μακάριος Ἀκεψιμᾶς ἐτύγχανεν.

16. Πρὸς δὲ τὸν τιμιώτατον Ἀειθαλᾶν ἐπιστραφεὶς ὁ τύραννος ἔφη· « Σὺ τί λέγεις περὶ σεαυτοῦ; πληροῖς τὸ τοῦ βασιλέως πρόσταγμα καὶ προσκυνεῖς τῷ μεγάλῳ θεῷ ἡλίῳ ἀπογεύῃ τε αἵματος καὶ γυναῖκα πρὸς γάμον εἰσοικίζῃ, ἵνα ῥυσθῇς ἀναγκῶν τε καὶ θλίψεων, ἢ τῇ ἀπειθείᾳ τῶν πρὸ σοῦ καὶ αὐτὸς ὁμοίως ἐπιμένεις; » Ἀποκριθεὶς δὲ μετὰ παρρησίας ὁ τῆς ἀειθαλοῦς φυτείας τοῦ Χριστοῦ γεωργός· « Ἔργον τοῦτο, ἔφη, τῆς σῆς ἀκαθαρσίας ἡ κυνώδους ὀρέξεως τὸ καὶ αἷμα ἀπογεύεσθαι καὶ κτίσμασιν ἀναιδῶς προσκυνεῖν, ὦ πεπηρωμένε καὶ νοῦν καὶ διάνοιαν· οὕτως γὰρ ἔμυσας τοὺς ὀφθαλμοὺς πνεύματι παραδοθεὶς κατανύξεως προφητικῶς εἰπεῖν, ὥστε μηδὲ τὸ λαμπρότατον τοῦ εὐαγγελίου φῶς, τὸ πᾶσαν καταλάμψαν τὴν οἰκουμένην, κἂν ἐπὶ μικρῷ ἐναυγασθῆναι τῇ ἐσκοτισμένῃ σου ψυχῇ· ὁ δὲ παρὰ σοῦ μοι ἀπειλούμενος θάνατος ζωὴ αἰώνιός μοι γενήσεται. »

17. Ὀργιλώτερον δὲ κινηθεὶς ὁ δυσμενέστατος, ὡς καὶ τὰς ὄψεις ἀλλοιωθῆναι, εἶτα ἐν ἑαυτῷ αὖθις ἐγκρατευσάμενος, λέγει πρὸς τὸν ἅγιον· « Πᾶς ἄνθρωπος φρονῶν τὴν ζωὴν μᾶλλον ἢ τὸν θάνατον ἀσπάζεται· τοῖς οὖν ὑπὸ σοῦ λεγομένοις τίς ἂν πιστεύσειεν, ἵνα τῆς ζωῆς καταφρονήσας τῷ θανάτῳ προσδράμῃ, καθάπερ ὑμεῖς οἱ ἀνόητοι. » Ὁ θεοφιλὴς Ἀειθαλᾶς ἀπεκρίθη· « Ὁ ἐν ἀγνοίᾳ τῆς ἀληθείας ὡς ἐν σκότει διαπορευόμενος, καθάπερ ἡ σὴ κακοδαίμων ψυχή, ἄξιος ἂν κληθείη μωρὸς καὶ ἀνόητος. Ὁ δὲ ἡμέτερος κύριος διαρρήδην ἐμβοᾷ, ὡς ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῇ προσκαίρῳ ζωῇ ἀπολέσει αὐτήν, ὁ δὲ ἀπολέσας ταύτην ἐν τῷ παρόντι βίῳ εἰς ζωὴν αἰώνιον εὑρήσει αὐτήν. »

18. Τότε κελεύει ὁ ὠμότατος θὴρ τὰς χεῖρας αὐτοῦ ὑπὸ τὰς ἰγνύας δεθείσας κατὰ τὸ μέσον ἀμφοτέρων ξύλον διαπερονηθῆναι, ἀμφοτέροις μέρεσι μηκυνόμενον ἐς τοσοῦτον, ὥστε ἄνδρας ἀνὰ ἓξ δυνάμει διαφέροντας ἐντεῦθεν καὶ ἐντεῦθεν ἐπιβάντας τῷ ξύλῳ τῇ βαρύτητι τῆς τάσεως ἢ τῶν ἐξεπίτηδες ἁλμάτων τὸ τοῦ ἁγίου ἱερὸν ἐκπιέζειν σῶμα· ἕτεροι δὲ ῥοπάλοις ἐκ ῥοῶν ἠκανθωμένοις κατὰ τὴν προγεγενημένην τιμωρίαν εἰς τὸν τοῦ Θεοῦ ἱερέα τύπτειν ἀφειδῶς προσετάσσοντο· ἴστε δὲ πάντες, ὡς δυσφόρητος ἡ πληγὴ οἰκτιρμῶν ἄνευ προσαγομένη. Ὁ δὲ καρτερικὸς ἀθλητὴς τοῦ Χριστοῦ ἐν γενναίῳ ψυχῆς παραστήματι τῷ τυράννῳ ἐπεφώνει· « Ὡς ἔοικεν, καὶ κυνῶν καὶ δρακόντων τὸ ἀναιδὲς ἢ ἀκόρεστον ἐπιδεικνύμενος, οὐδεμίαν φειδὼ ποιῇ τῶν ἀνθρωπίνων σωμάτων ὁμοίως ἐκείνοις οἰκεῖον βρῶμα ταῦτα τιθέμενος· γνῶθι οὖν, ὡς οὐδενὸς λόγον ποιοῦμαι οὔτε σοῦ οὔτε τῶν ὑπὸ σοῦ προσαγομένων μοι κολαστηρίων. »

19. Ὁ δὲ τῆς ἀθείας ἔμπλεως, βρύχων ἅμα καὶ τρίζων τοὺς ὀδόντας· « Ἵνα τί, τοῖς παίουσιν ἀπειλῶν ἐπεφώνει, πεφεισμένως τὸν ἀνόσιον μαστίζετε; ὡς ἐκ τούτου γὰρ ἀδείας τυγχάνων, πρὸς λοιδορίας καὶ ὕβρεις τὰς καθ' ἡμῶν ἀναιδῶς ἐκτρέπεται. » Ἀπὸ δὲ τῆς τῶν τεινόντων ὑπερβαλλούσης βίας καὶ τῆς τῶν ἐπιβεβηκότων τῷ ξύλῳ σφοδρᾶς βαρύτητος ἔτι δὲ καὶ τῶν ἀνυποίστων ῥαβδισμῶν οἱ μὲν βραχίονες τοῦ ἱεροῦ ἐκείνου σώματος τέλεον καταδαρθέντες μέχρι καὶ αὐτῶν τῶν ὀστῶν ὁλοκλήρως ἐγυμνοῦντο· ἡ δὲ ἄλλη πᾶσα ἁρμονία λυθεῖσα τῆς οἰκείας συμφυΐας ἀπέσπαστο. Βαστάσαντες οὖν αὐτὸν ὡς μηδὲ κινη-

θῆναι δυνάμενον τῷ δεσμωτηρίῳ ἐναπέρριψαν, ἔνθα καὶ ἡ λοιπὴ τῶν μαρτύρων δυὰς ἐναπεκέκλειστο.

20. Μετὰ δὲ πέντε ἡμέρας ἐκβαλόντες τοῦ δεσμωτηρίου, ἄγουσιν αὐτοὺς εἰς τόπον λεγόμενον Παράδεισον, οὗ πλησίον καὶ ναὸς ὑπῆρχε τοῦ παρ' αὐτῶν σεβομένου πυρός· ἐν ᾧ καὶ προκαθεσθεὶς ὁ παμμίαρος πρὸς τοὺς ἁγίους ἔφη· « Εἴπατέ μοι συντόμως· ἔτι τῷ αὐτῷ τῆς κακίας ἐπιμένετε λογισμῷ μὴ πειθαρχοῦντες τοῖς τοῦ αὐτοκράτορος θεσπίσμασιν, ὦ γοητείας ἀνάμεστοι; » Οἱ δὲ ἅγιοι ὡς ἐξ ἑνὸς στόματος εἶπον· « Ἡμεῖς τοῦ ἀγαθοῦ λογισμοῦ, ὃν ἀρχῆθεν ἐκεκτήμεθα, καὶ τοῦ ἑνὸς φρονήματος σύμψυχοι ὄντες, τῆς ἀληθινῆς πίστεως οὐδαμῶς ἐκπεπτώκαμεν, ἐν οἷς Θεῷ ποιητῇ οὐρανοῦ τε καὶ γῆς λατρεύομεν, τὰ δὲ τοῦ ἀσεβοῦς βασιλέως ὑμῶν προστάγματα ἐν οὐδενὶ τιθέμεθα· κἂν εἶδος ἅπαν βασανιστηρίων ἐπαγάγοις, εὖ ἴσθι ὡς ἀμετάθετοί ἐσμεν, τῆς αὐτῆς γνώμης καὶ προαιρέσεως ἐχόμενοι. »

21. Λίαν δὲ ἀχθεσθεὶς ἐπὶ τοῖς ῥήμασιν ὁ τύραννος κελεύει αὐτοὺς μὲν κατὰ τῶν μασχαλῶν καὶ τῆς ὀσφύος καὶ τῶν κνημῶν σχοινίοις περιζωσθέντας ἰσχυρῶς, κατὰ δὲ τὰ τῶν σχοινίων ἄκρα ξύλοις ἐνδήσαντας τοὺς ὑπηρετοῦντας δίκην στρεβλωτηρίων περιελίσσειν ἐν δυνάμει. Οὗ γενομένου, ἐπὶ τοσοῦτον τὰ ὀστᾶ τῶν ἁγίων συνέθλιψαν, ὥστε καὶ τοὺς πόρρωθεν ἀφεστηκότας τοῦ κρότου τῆς συντριβῆς ἐνωτίζεσθαι. Ὁ δὲ παμμίαρος ἐπεφώνει τούτοις· « Τῷ θελήματι τοῦ βασιλέως μὴ ἀντιτάσσεσθε. » Ἀντιφθέγγονται οἱ ἅγιοι τοῦ Χριστοῦ ἀθλοφόροι· « Οἱ τῷ θελήματι τοῦ βασιλέως ὑμῶν ὑπείκοντες ὑποταγῆναι τῷ θείῳ βουλήματι οὐ δυνήσονται. »

22. Ἀπὸ δὲ τρίτης ὥρας ἕως ἕκτης τῇ τοιαύτῃ τῆς βασάνου στρεβλώσει τῶν ἀθλητῶν ἐγκαρτερούντων καὶ διὰ τῆς ὑπομονῆς τὸν Θεὸν μεγαλυνόντων, αὐτοὶ τὰς ἐρωτήσεις οἱ ὠμότατοι μιαιφόνοι πρὸς αὐτοὺς ἐποιοῦντο. Πάλιν οὖν βαστάσαντες αὐτοὺς ταῖς ἀφορήτοις πληγαῖς οἷα δὴ νενεκρωμένους τῷ δεσμωτηρίῳ ἐγκατακλείουσι, μὴ συγχωροῦντές τινι τῇ τοῦ τυράννου προστάξει τῶν ἀναγκαίων τι διατροφῆς ἢ σκεπάσματος ἐπιχορηγηθῆναι αὐτοῖς· « Εἰ δέ τις εὑρεθείη τὸν τοιοῦτον ὅρον παραλύων, φησίν, ὠμοτάταις ὑποβληθεὶς μάστιξι τῶν ὤτων καὶ τῆς ῥινὸς ἀποστερηθήσεται. »

23. Ἀλλ' οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται πᾶσαν θλῖψιν καὶ κάκωσιν δι' αὐτὸν ὑπομένοντες, ἐν πείνῃ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι ἐπὶ τριετῆ χρόνον κατάκλειστοι διετέλεσαν, μηδαμόθεν ἔχοντες τῆς ἐνδείας παραμυθίαν, πλὴν εἰ μὴ ἀπὸ τῶν συνδεσμίων, ἐξερχομένων καὶ προσαιτούντων ἑαυτῶν τε χάριν καὶ τῆς τῶν μαρτύρων ἐλαχίστης ἐπιχορηγήσεως· ὧν καὶ τὰς ἀφορήτους θλίψεις καὶ τὴν τοῦ λιμοῦ χαλεπότητα καθορῶντες οἱ τῇ εἱρκτῇ προσκαθήμενοι φύλακες τό τε βαθὺ γῆρας κατῳκτίζοντο καὶ πρὸς ὀδυρμοὺς καὶ δάκρυα μετεφέροντο.

24. Μετὰ δὲ τὴν τοσαύτην πολυχρόνιον κάκωσιν τῶν τρισολβίων μαρτύρων, Σαβωρίου τοῦ Περσῶν βασιλέως παραγεγονότος κατὰ τὸν αὐτὸν χῶρον, ἐν ᾧ οἱ ἅγιοι ἐφρουροῦντο, Βιθμαδὰ καλούμενον, ἐξάγει τούτους τῆς φυλακῆς ὁ πρὸς τὸ κολάζειν τὴν ἐξουσίαν εἰληφώς, ἐπὶ τοσοῦτον ἐκτετηκότας τῇ πολυημέρῳ κακώσει, ὥστε εἰκόνα μόνον ἀνθρώπου δεικνύναι [1] καὶ αὐτοὺς τοὺς ὠμότητι διαφέροντας εἰς οἰκτιρμὸν καὶ ἔλεον τούτων ἐπικλίνεσθαι· καὶ τῷ τοῦ κατάρχοντος πάντων τῶν ἐν Περσίδι μάγων τοὔνομα Ἀρδασαβὼρ βήματι ἀκριβέστερον ἀνεταζομένους παρίστησι, πάντων ὁμοῦ τῶν μεγιστάνων καὶ παραδυναστευόντων συγκαθεζομένων αὐτῷ. Καὶ τῶν ἁγίων γενναίῳ καὶ ἀκαταπλήκτῳ φρονήματι ἐμφανισθέντων, Ἀρδασαβὼρ ἔφη πρὸς αὐτούς· « Ἀληθῶς χριστιανοί ἐστε; » Ἀπεκρίθησαν οἱ ἅγιοι· « Ναί, ἀληθῶς χριστιανοί ἐσμεν, καὶ τοῦτο τὸ σέβας ἐκ προγόνων ἐπιγραφόμεθα, μόνῳ Θεῷ ζῶντι καὶ ἀληθινῷ τὴν λατρείαν προσάγοντες. »

25. Λέγει πρὸς αὐτοὺς ὁ τύραννος· « Καὶ ἡ πρεσβυτικὴ κατάστασις ὅσον εἰκάσαι τις δύναιτο καὶ τὸ βαθὺ γῆρας τὴν ἐνοῦσαν ἐμφανίζει ἀσθένειαν. Ἐπὶ πλεῖον δέ, ὡς οἶμαι, ἡ χρονία κάθειρξις καὶ ταλαιπωρία τάς τε μορφὰς ἠλλοίωσε καὶ τὴν ἐπὶ ταύταις σύνταξιν κατειργάσατο· διόπερ εἰ ἐμοὶ πείθεσθε, φείσασθε ἑαυτῶν καὶ τῷ ἡλίῳ προσκυνήσατε, ἵνα μὴ βιαίῳ θανάτῳ τὰ ὑμῶν σώματα ἀναλωθῇ. Οὐκ ἀγνοεῖτε γάρ, ὡς κατὰ παντὸς χριστιανοῦ τῷ περσικῷ μὴ πειθαρχοῦντος δόγματι ἡ διὰ ξίφους εἰς κεφαλὴν διώρισται τιμωρία. »

26. Ὁ τοῦ Θεοῦ ἀρχιερεὺς Ἀκεψιμᾶς λέγει πρὸς αὐτόν· « Ἐπίσταμαι, ὡς οὐκ ὀλίγην σπουδὴν κέκτησαι ἐν ταύτῃ σου τῇ καταργουμένῃ ἐξουσίᾳ· μὴ οὖν χρονοτριβήσῃς ἀναβαλλόμενος περὶ τὴν

24. — 1. *ita fortasse legendum*; δεικνύοντας U.

τοιαύτην σου παράνομον θέλησιν, μηδ' ἐπὶ διάνοιάν σου ἀνέλθῃ, ὡς ἢ θωπείαις ἢ ἀπειλαῖς ὑποχαυνώσεις ἢ μεταπείσεις τὸν αὐτοκράτορα ἡμῶν λογισμόν· ἀλλ' ὃ βούλει ποιῆσαι, τοῦτο διὰ τάχους ἀπόφαινε· ἡμεῖς γὰρ ἑδραῖοι καὶ ἀμετακίνητοι διαμένοντες οὔτε τὰς βασάνους σου πτοούμεθα καὶ τὸ τοῦ βασιλέως ὑμῶν πρόσταγμα ὡς παράνομον ἀποστρεφόμεθα. »

27. Ὁ δυσμενέστατος πρὸς αὐτοὺς ἀποκρίνεται· « Οὐκ ἀγνοῶ, ὡς ὑμεῖς οἱ χριστιανοὶ τὸν θάνατον εἰς ἀνάπαυσιν λογιζόμενοι τούτου τυχεῖν διὰ τάχους ἐπισπεύδετε· ἀλλ' οὐκ ἀποβήσεται ὑμῖν τὸ ζητούμενον, μέχρις ἂν τὴν ζωὴν ὑμῶν κατ' ὀλίγον ἐκδαπανήσας καὶ τελευταῖον παρανάλωμα ξίφους ὑμᾶς ποιησάμενος ἅπαντας τοὺς περὶ ὑμᾶς χριστιανοὺς δι' ὑμῶν σωφρονισθῆναι παρασκευάσω. » Ὁ ἅγιος Ἀκεψιμᾶς λέγει· « Πολλάκις ἤκουσας παρ' ἡμῶν, ὅτι οὔτε τῶν βασάνων σου λόγον ποιούμεθα οὔτε τὸν διὰ ξίφους θάνατον δεδοίκαμεν. Ὁ γὰρ ἐν ταῖς προλαβούσαις θλίψεσι βοηθὸς ἡμῶν γενόμενος Θεός, καὶ τανῦν αὐτὸς ἡμῖν δύναμιν παρέξει εἰς τὸ τὰς μηχανὰς τοῦ πατρὸς ὑμῶν τοῦ Σατανᾶ καταργῆσαι. Δοκίμασον οὖν τὴν ἐν Χριστῷ δυναμουμένην πρεσβυτικὴν ἡμῶν ἀσθένειαν ὡς ἐν χωνείᾳ ταῖς βασάνοις, καὶ εὑρήσεις ἀργύριον κεκαθαρμένον ἑπταπλασίως, ἵνα διὰ πάντων κατῃσχυμμένος τὴν σεαυτοῦ ἐπιγνῷς περὶ τὴν ἀσέβειαν πλάνην, ὡς ἀνήνυτα καθ' ἡμῶν ἐπιχειρῶν. »

28. Θυμοῦ δὲ πλησθεὶς ὁ τῆς ὠμότητος ἐξάρχων κελεύει παρενεχθῆναι ἐξ ὠμῆς βύρσης μάστιγας τὸν ἀριθμὸν τεσσαρεσκαίδεκα, ἃς καὶ κατενώπιον αὐτοῦ προθεὶς λέγει πρὸς τοὺς ἁγίους· « Ὄμνυμι τὸν μέγαν θεὸν ἥλιον καὶ τὴν τοῦ βασιλέως τῶν βασιλέων Σαβωρίου εὐκλεᾶ τύχην, ὡς εἰ μὴ πεισθείητε τῷ προστάγματι αὐτοῦ, ἐν τούτοις ἐξαναλώσω ὑμῶν τὰ σώματα, ἐν αἵματι δὲ μολυνῶ τὴν ἀνόσιον πολιὰν ὑμῶν μηδεμίαν φειδὼ ποιούμενος εἰς ὑμᾶς· εἰ δὲ καὶ τάχιον ἀποδώσετε τὰς ψυχὰς ὑμῶν μαστιζόμενοι, καὶ αὐτὰ τὰ νεκρὰ ὑμῶν σώματα καθ' ἓν μελιζόμενα διασκορπίσας, αἱμοβόροις κυσὶ καὶ ὀρνέοις ἀπορρίψω. » Ὁ ἅγιος Ἀκεψιμᾶς εἶπεν· « Ἐπειδὴ ὤμοσας εἰς μὴ ὄντα θεὸν κτίσμα καὶ δοῦλον τοῦ ὄντος Θεοῦ καὶ εἰς ψυχὴν ἀνθρώπου φθαρτοῦ καὶ ἐπιχήρου, δέδοικα, μήπως παροργίσας τὸ ὠμοσμένον οὐκ ἐκπληρώσῃς. Ἰδοὺ τὰ σώματα ἡμῶν παρὰ σοί ἐστιν· τῶν γὰρ ψυχῶν Θεὸς ἐξουσιάζει· ὃ βούλει τοίνυν ποιῆσαι, τάχιον ποίησον· ἐν ἑτοίμῳ γὰρ ἡμᾶς διὰ πάντων εὑρήσεις. »

29. Τότε ὁ μιαρὸς ἐν κραυγῇ μεγάλῃ κελεύει ἀμφοτέραις ταῖς χερσὶ τεινόμενον ἐντεῦθεν καὶ ἐντεῦθεν ἄνδρας δυνάμει διαφέροντας κατά τε τῶν στέρνων καὶ τῶν νώτων ἀνηλεῶς ταῖς μάστιξι καταξαίνειν. Ἐπὶ τοσοῦτον δὲ προήχθησαν οἱ μαστίζοντες ὠμότητος, ἕως οὗ αἱ σάρκες αὐτοῦ σὺν τῷ αἵματι ἐπὶ τὴν γῆν καταρρέουσαι ἐλεεινὸν θέαμα τοῖς παροῦσιν ἐδείκνυον, ἑτέρων ἐπιβοώντων· « Πείσθητι τῷ τοῦ βασιλέως θελήματι καὶ ζῆθι. » Ὁ δὲ τοῦ Θεοῦ ἄμεμπτος ἀρχιερεὺς μέχρι μὲν δυνάμεως εἶχεν, ἐπεφώνει ὡς· « Τὸ μὲν βούλημα τοῦ ἐμοῦ Θεοῦ ἐν αὐτῷ δυναμούμενος τελειώσω, τὸ δὲ τοῦ βασιλέως ὑμῶν καὶ ἐξουθενῶ καὶ βδελύσσομαι. » Ἐπειδὴ δὲ τῷ θανάτῳ προσήγγιζε καὶ πρὸς τὸ λέγειν πάντῃ ἀδυνάτως εἶχεν, τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἄρας καὶ τὴν εἰς Θεὸν ὁμολογίαν διὰ τῆς εἰς αὐτὸν ἀνανεύσεως ἀπαράτρωτον συντηρῆσαι βεβαιωσάμενος, ἐν αὐτῇ τῇ τῶν δεινῶν καρτερίᾳ τὴν ἀκαταγώνιστον καὶ μακαρίαν ψυχὴν τῷ ἀθλοθέτῃ Θεῷ παρέθετο.

30. Μετὰ δὲ τὴν πρὸς κύριον ἐκδημίαν αὐτοῦ τὸ ἱερατικὸν σῶμα νεκρὸν αὐτοῖς προκείμενον ἐν παραλλαγῇ τῶν τυπτόντων ἐπὶ τοσοῦτον μαστίζοντες κατήντησαν, ὥστε τὰς σάρκας αὐτοῦ ἐρίου δίκην καταξανθείσας δι' ὅλου ἐπὶ τῆς γῆς σὺν τῷ αἵματι καταρρεῦσαι· ὠμοτέραν δὲ καὶ θηρίων γνώμην ἐπιδεικνύμενοι, τὸν μὲν σπόνδυλον ἐπὶ κεφαλῆς σύροντες κατέαξαν· ῥίψαντες δὲ αὐτὸν κατὰ τὰς πλατείας, φύλακας τῷ ἱερῷ σώματι κατεστήσαντο εἰς τὸ μηδὲ ταφῆς ὁσίας παρά τινος ἀξιωθῆναι. Πλὴν μετὰ τρίτην ἡμέραν τὸ τίμιον αὐτοῦ λείψανον παρὰ τῶν χριστιανῶν ἐκλάπη, τῶν φυλακῶν ἐσχολακότων τῇ τοῦ βασιλέως τῶν Ἀρμενίων θυγατρὸς παρουσιάσει, ἕνεκεν σπονδῶν εἰρήνης ὅμηρον ἐπιδοθείσης τῷ τῆς Περσίδος βασιλεύοντι.

31. Τῇ δεκάτῃ δὲ τοῦ ὀκτωβρίου μηνὸς τοῦ μακαρίου τελειωθέντος Ἀκεψιμᾶ, εἰσήχθη μετ' αὐτὸν ὁ ἱερὸς Ἰωσήφ· καὶ πρὸς αὐτὸν ὁ τῆς ἀπανθρωπίας ἔμπλεως ἄρχων ἐκμανῶς ἔφη· « Ἑώρακας τὸν σὸν ἑταῖρον, ποίῳ θανάτῳ πικρῶς τὴν ζωὴν κατέλυσεν; καὶ σὺ τοίνυν, εἰ μὴ τῇ χρηστῇ συμβουλίᾳ μου πεισθῇς, ταῖς ὁμοίαις περιπεσὼν κολάσεσι κακιγκάκως τοῦ ζῆν ἀπαλλαγήσῃ. » Ὁ τοῦ Χριστοῦ ἀνεπίληπτος ἱερεὺς εἶπεν· « Ὃ πολλάκις εἶπον, τοῦτο καὶ αὖθις φημί· ἐφ' ὅσον κύριός εἰμι τοῦ οἰκείου λογισμοῦ σῶας ἐν αὐτῷ τὰς φρένας ἔχων, οὔποτε ἀνταλλάξομαι τὴν δόξαν τοῦ ζῶντος καὶ ἀφθάρτου

Θεοῦ ἐν ὁμοιώματι φθαρτῶν καὶ λυομένων κτισμάτων οὐδὲ τὸν δημιουργήσαντα καταλιπὼν τοῖς ὑπ' αὐτοῦ ποιηθεῖσι προσκυνήσω εἰς τὸν αἰῶνα. Ὃ τοίνυν βούλει ποιεῖν, τάχιον ποίησον. » Θυμῷ δὲ πολλῷ ζέσας ὁ θηριωδέστατος, κελεύει τεινόμενον αὐτὸν κυκλοτερῶς ἀνδράσι δυνατοῖς δέρρεσιν ὠμοῖς κατατέμνεσθαι τὰς σάρκας αὐτοῦ, τῶν κηρύκων ἐπιβοώντων· « Εἶξον τῷ θελήματι τοῦ βασιλέως καὶ σώθητι. »

32. Ὁ δὲ τῆς ἀληθείας κῆρυξ φωνῇ μεγάλῃ ἐκραύγασεν· « Εἷς ἐστι Θεὸς ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσιν, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἕτερος· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ἐν μιᾷ ἐλπίδι τῆς πίστεως τὴν λογικὴν αὐτῷ λατρείαν προσάγοντες. » Ὡς δὲ ἐπὶ πολὺ τυπτόμενος οὐδὲ φθέγξασθαι λειποψυχήσας ἠδύνατο, νομίσαντες αὐτὸν ἤδη τεθνάναι, τοῦ μὲν μαστίζειν ἀπέσχοντο. Σύραντες δὲ αὐτὸν ἔξωθεν, ἐρριμμένον ἐπὶ τῆς πλατείας καταλιμπάνουσιν· εἶτα μετ' οὐ πολὺ μαθόντες αὐτὸν ἔτι ἐμπνέειν, πάλιν τῇ εἱρκτῇ φυλαχθησόμενον παραδιδόασιν.

33. Τρίτον δὲ μετὰ τὸν ἀοίδιμον τοῦτον τῆς εὐσεβείας ἀθλητὴν εἰσάγουσι τὸν μακάριον Ἀειθαλᾶν. Πρὸς ὃν ὁ παμμίαρος ἔφη· « Ζωῆς καὶ θανάτου ἐν ὀφθαλμοῖς σου προκειμένων δόξης τε καὶ ἀτιμίας τοῖς ἀναλόγως αἱρουμένοις θάτερον τούτων, μὴ προδῷς σεαυτὸν τοῖς ἐναντίοις, καθάπερ οἱ ἑαυτοὺς ἀνοήτως ἐκδεδωκότες ἑταῖροί σου, πικροτάτῳ θανάτῳ τῶν τῇδε μεταχωρήσαντες· εἰσακούων γάρ μου τῆς παραινέσεως, καὶ δωρεὰς λήψῃ βασιλικὰς καὶ δόξης τῆς παρ' αὐτῶν μεγαλοπρεπῶς καταξιωθήσῃ· εἰ δὲ τῇ αὐτῇ ἐπιμένεις ἀπειθείᾳ, πρόδηλά σοι τὰ ἐκ τούτου συμβησόμενα. » Ὁ φερώνυμος Ἀειθαλᾶς, τὸ τῆς εὐσεβείας ἀειθαλὲς φυτόν, ἀντέφησεν· « Θαυμάζω ἐπὶ τῇ ἀλογίᾳ τῆς σῆς ἀναισθησίας, ταλαίπωρε· τοῖς γὰρ ἀνοήτοις κτήνεσι παρασυμβληθεὶς οὐδὲ ὅμοια τούτοις ἀπερεύγεσθαι ἐρυθριᾷς· εἰ γὰρ οἱ ἐμοὶ σύμψυχοι καὶ συμφυλέται ἤδη προβεβηκότες μου τὰς ἑαυτῶν ψυχὰς ὑπὲρ τῆς εἰς Χριστὸν ἀληθοῦς πίστεως παρέδωκαν, δι' ἧς καὶ βασιλείας οὐρανῶν κληρονόμοι γεγόνασιν, οὐ πολλῷ μᾶλλον ἐγώ, ἀνοητότατε, μικρόν τι τῆς ἡλικίας ὑποβεβηκὼς καὶ τὸ ἀκμαιότερον διὰ ταύτης κεκτημένος, τὸν ὑπὲρ εὐσεβείας ὑποίσω θάνατον καὶ σὺν αὐτοῖς τῶν ἀφθάρτων καταξιωθήσομαι στεφάνων; »

34. Ταῖς δὲ τοιαύταις ὕβρεσιν ἀλλοιωθεὶς τὸ πρόσωπον ὁ μανιώδης καὶ θυμῷ ὑπερζέσας, κελεύει τεινόμενον αὐτὸν ἐκ τεσσάρων χωρὶς οἰκτιρμῶν ἢ ἐλέους, ὡς ἄν τις ξύλῳ ἢ λίθῳ ἀναισθήτοις οὖσι χρήσαιτο, ὁμοιοτρόπως αὐτῷ τὰς πληγὰς ἐπιφέρειν. Ὁ δὲ τοῦ Χριστοῦ ὡς ἀληθῶς γενναῖος ἀθλητὴς ἀποκρίνεται τῷ τυράννῳ μετὰ βοῆς· « Ὦ ἀνόητε καὶ ῥυπαρὲ κύον, τὸ πάσης καταγώγιον κακίας, ἔοικεν τῇ σαθρότητι τοῦ νοὸς ὑμῶν καὶ τὴν τῶν βασάνων ἐξομοιοῦσθαι ἀσθενεστάτην ἐπίθεσιν· ἀναλόγως δὲ τούτοις καὶ οἱ τοῖς πονηροῖς ἐξυπηρετοῦντές σου προστάγμασιν, ἐν ἀτόνοις καὶ παρειμέναις χερσὶ τὰς τιμωρίας ἡμῖν ἐπάγουσι· καινοτέρων τοίνυν κολαστηρίων καὶ τῶν τούτοις ὑπουργούντων ἐν δυνάμει πλείονι εὕρεσιν ποιησάμενος, ἔργῳ μαθήσῃ καὶ τὴν ἐμὴν ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ καρτερίαν, δι' ἧς τὸ νεάζον τῆς ψυχῆς ἀναφαίνεται, καὶ τὴν σὴν ἀδρανῆ καὶ καταγέλαστον ἐπιχείρησιν, δι' ἧς[1] τὸ ἐκλελυμένον σου καὶ παράφορον ἐλεγχθήσεται. »

35. Θαμβηθεὶς δὲ ἐπὶ τοῖς λεγομένοις ὁ ἀνοσιουργὸς πρὸς τοὺς συνεδρεύοντας αὐτοῦ μεγιστᾶνας· « Τί τοῦτο ἄρα, ἔφησε, τὸ πάσης ἀνθρωπίνης περινοίας ἐπέκεινα; πῶς οὗτοι οἱ λεγόμενοι χριστιανοὶ τῆς παρούσης καταφρονοῦντες ζωῆς οὕτω διψῶσι τὸν θάνατον ὡς ἄν τις λιμώττων ἄρτου καὶ ὕδατος ἐφιέμενος; » Οἱ συνεδρεύοντες μεγιστᾶνες λέγουσι πρὸς αὐτόν· « Ταῖς ἐκ πατέρων διδαχαῖς ἀκολουθοῦντες τὰς δι' αὐτῶν ἐπαγγελίας ὡς βεβαίας ἀσπάζονται· περιέχουσι γὰρ αἱ γραφαὶ αὐτῶν ἄλλον εἶναι κόσμον ἀόρατον καὶ ζωὴν ἀτελεύτητον. » Ἐν ὅσῳ δὲ ταῦτα μεταξὺ αὐτῶν ἐλέγετο, τῇ τε τῆς ὥρας παρατάσει καὶ τῇ τῶν σφοδρῶς αἰκιζόντων ἐπεμβολῇ αἱ μὲν τοῦ πολυάθλου σώματος ἁρμονίαι διελύοντο, αἱ δὲ σάρκες ἅμα τῷ αἵματι καταξαινόμεναι ἐπὶ γῆς ἀπέρρεον.

36. Ἐπ' ὀλίγον δὲ ἀνεθέντος αὐτοῦ καὶ πάλιν τῷ τυράννου βήματι ὑπὸ στρατιωτῶν ἀχθέντος, λέγει πρὸς αὐτὸν ὁ τύραννος· « Εἰ βουληθείης ὑπεῖξαι τῷ βασιλικῷ προστάγματι, εἰσὶ παρ' ἡμῖν ἰατρῶν ἐμπειρότατοι, οἳ δύνανταί σε καὶ τῶν πληγῶν ἀπαλλάξαι καὶ ταχεῖάν σοι τὴν ἴασιν βραβεῦσαι. » Ὁ μακάριος Ἀειθαλᾶς ἀντέφησεν· « Περὶ ὑγείας καὶ ἰατρικῆς ἐπιστήμης φιλοσοφεῖς, ὦ παράλυτε καὶ σώματι καὶ ψυχῇ· Θεός μοι μάρτυς ἡ ἀλήθεια, ὅτι εἰ λόγῳ τὰ πάθη ἐφυγάδευες, τὰ

34. — 1. *Ita legendum videtur*, ὧν V.

τραύματά τε καὶ τὰς πληγὰς τοῦ ταπεινοῦ τούτου σώματος αὐθωρὸν ἐθεράπευες, οὐκ ἂν ἐπέκαμψάς μου τὸν λογισμὸν τὸν πλάσαντά με καταλιπεῖν Θεόν, δι' οὗ πᾶσα κτίσις ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήχθη, καὶ τῷ ὑπ' αὐτοῦ κτισθέντι εἰς ὑπηρεσίαν ἀνθρώπων ἡλίῳ προσκυνῆσαι. » Λέγει πρὸς αὐτὸν ὁ δυσσεβέστατος· « Δοκιμάζων εἴρηκά σοι ταῦτα, ἐπεὶ τάχα καὶ εἰ θελήσειας πεισθῆναι τῷ βασιλικῷ προστάγματι, ἡ τῶν πληγῶν θανατηφόρος ἐπίθεσις οὐδαμῶς σοι τὸ ζῆν παραχωρήσει· διὰ τοῦτο παράδειγμά σε θήσομαι πᾶσι τοῖς χριστιανοῖς, ὅσους ἡ περὶ σὲ τῆς κακίας λώβη κατεκράτησεν, ὡς ἂν μάθωσι καὶ ἕτεροι διὰ σοῦ σωφρονεῖν καὶ μὴ ἀδεῶς ταῖς ὕβρεσι χρῆσθαι κατὰ τῶν ἐξουσιαζόντων, οἷς[1] ὤφειλες μᾶλλον τιμὴν καὶ σέβας προσάγειν. »

37. Ὁ πανίερος Ἀειθαλᾶς ἀντέφησεν· « Εἰ καὶ ἄλλως ἀνοηταίνεις, ἀλλ' οὖν ἐν τούτῳ καὶ μὴ βουλόμενος ἀληθεύσεις. Τῷ ὄντι γὰρ ἀγαθὸν ὑπόδειγμα γενησόμεθα τοῖς μετέπειτα χριστιανοῖς, οἳ καὶ εἰς ἡμᾶς ἀφορῶντες καὶ τὴν ἡμετέραν ἐν Χριστῷ γενναιότητα, ἐν ὁμοίᾳ προθέσει τὰς μηχανὰς ὑμῶν ἐκφαυλίσαντες δι' ὑπομονῆς καὶ καρτερίας τὸν τῆς δικαιοσύνης στέφανον, ἐν οὐρανοῖς ἀπολήψονται, ὡς ἀληθῶς μνήμην ἀνεπίληστον τῆς ἐπαινουμένης ἀρετῆς τῷ βίῳ καταλιπόντες. » Ἀφωνίᾳ δὲ συσχεθεὶς πρὸς ταῦτα ὁ μανιώδης καὶ πολύπλοκος, προσκαλεσάμενος τὸν Ἀδεσχοχὰρ τῆς ὁμοίας αὐτῷ μετέχοντα αἱρέσεως, λέγει πρὸς αὐτόν· « Τοὺς δυστιμωρήτους τούτους καὶ ἀκάματον τὴν προαίρεσιν ἔχοντας παραλαβὼν πρός τε τὴν ὑμῶν πόλιν καὶ πατρίδα ἀπαγαγὼν λιθολεύστους χερσὶ χριστιανῶν παρασκεύασον γενέσθαι· τούτου γὰρ ἕνεκεν οὐδὲ τὴν διὰ ξίφους κατ' αὐτῶν ἀπόφασιν ποιῆσαι προτεθύμημαι. »

38. Παραυτίκα δὲ κατ' ἐνώπιον τῶν τε δικαζόντων καὶ συνεδρευόντων ἀχθοφόροις ἐπιβιβάσαντες ζῴοις τὴν εὐθὺ φέρουσαν Περσῶν πρὸς τὰ ἐνδότερα πορείαν διανύειν κατέσπευδον. Ἐπεὶ δὲ ταῖς ἀφορήτοις πληγαῖς τῇ τε τῶν μελῶν παραλύσει καὶ τῇ τῶν ὀστῶν συντριβῇ πιεζόμενοι ἀδυνάτως εἶχον καὶ αὐτὸ τὸ καθῆσθαι, σχοινίοις καταδήσαντες δι' ὅλου ἦγον ὡς ἐν ζῶσι[1] σώματα νεκρά, μηδὲ τῆς οἱασοῦν παραψυχῆς ἀξιοῦντες οἱ καὶ θηρίων ὠμότεροι, μᾶλλον μὲν οὖν ἐν αἷς καὶ συνέβη μοναῖς καταλύειν, ὡσπερεί τινα[2] φορτία ξυλαρίων εἰς καῦσιν ἀγομένων ἀτίμως παραρριπτοῦντες τοῦ ἐπιπλήττειν καὶ χλευάζειν οὐδαμῶς ἐνεδίδοσαν. Κατὰ δὲ τὴν πόλιν αὐτῶν Ἀρβὴλ ἐν ὅροις διακειμένην Ἐδιὲβ φθάσαντες κατακλείουσιν αὐτοὺς ἐν σκοτεινῷ δεσμωτηρίῳ, ἐν ᾧ καὶ τῆς ἐκ πληγῶν σήψεως ἐπιγενομένης καὶ τῶν ἐκ ταύτης ἰχώρων ὑποκάτωθεν αὐτῶν καταρρεόντων, οὐ μικρά τις πόνων ἐπιβολὴ τοῖς ἱεροῖς ἐκείνοις καὶ ἀδαμαντίνοις ἐνέσκηπτεν σώμασι· πρὸς τούτοις καὶ φύλακας παρακαθῆσθαι προσέταξεν τοῦ μηδένα τῶν χριστιανῶν εἰσιόντα πρὸς αὐτοὺς ἐπιμελείας τινὸς ἀξιῶσαι.

39. Γυνὴ δέ τις, ἐν ὁρίοις τῆς αὐτῆς παροικοῦσα πόλεως, ἧς καὶ τὴν μνήμην ἐν ἑτέρᾳ συγγραφῇ πεποίημαι, τοὔνομα Εἰσδανδούλ, πολλῶν ἁγίων ἐγκατακλείστων σώματα ἐπιμελουμένη παντοίως περιεποιεῖτο. Αὕτη τοίνυν ἡ σεμνοπρεπεστάτη καὶ ὄντως τοῦ Θεοῦ ἄνθρωπος ἀκούσασα περὶ τῶν ἁγίων μαρτύρων Ἰωσὴφ καὶ Ἀειθαλᾶ, ἀωρὶ τῶν νυκτῶν πρὸς τὸ δεσμωτήριον παραγενομένη καὶ τοὺς φυλάσσοντας ἀργυρίῳ καὶ δώροις δεξιωσαμένη, τῆς εἱρκτῆς ἐξάγει τοὺς μάρτυρας καὶ βασταζομένους ὑπὸ τῶν ἑαυτῆς — οὔτε γὰρ περιπατῆσαι ἰσχύος εἶχον — πρὸς τὴν ἰδίαν διακομίζει μονήν τε καὶ οἰκίαν. Καὶ δὴ προθεῖσα τούτους μηδὲ φθέγξασθαι δυναμένους, ἀπομάσσει μὲν τὸν ἰχῶρα, τὴν δὲ τῶν τραυμάτων ἀλγηδόνα παρηγορεῖται μαλάγμασιν, ὀθονίοις τε καθαροῖς ἐπιδεσμοῦσα καὶ διὰ πάντων τὴν θεραπείαν προσάγουσα, ἐκ δὲ τῆς καθαιρομένης ἑλκώσεως καὶ τῶν ἰχώρων ἑαυτὴν ἐπαλείφουσα, ἁγιασμοῦ μεταλαβεῖν ἐντεῦθεν ἱμειρομένη, τὰς παρειμένας χεῖρας καὶ τὰ λελυμένα μέλη ἤλειφέν τε μυρίσμασι μεγαλοπρεπῶς καὶ κατεφίλει δακρυρροοῦσα, οἷα δὴ τὰ τοῦ κυρίου Ἰησοῦ στίγματα ἐν αὐτοῖς καθορῶσα.

40. Πρὸς ἣν ὁ καρτερικώτατος Ἰωσὴφ ὀψέ ποτε ἑαυτοῦ γενόμενος ἔφησεν· « Τὸ μὲν περὶ ἡμᾶς σου συμπαθὲς καὶ φιλότιμον, ὦ γύναι, καὶ Θεῷ εὐαπόδεκτον καὶ ἡμῖν τοῖς ὑπὲρ αὐτοῦ ἀθλοῦσι, τὸ δὲ οὕτως ἀποκλαίεσθαι ἡμᾶς ἀφιλοσόφως καὶ ὑπὲρ τὸ μέτρον ἐκτός ἐστι τῆς ἀψευδοῦς τῶν χριστιανῶν ἐλπίδος τε καὶ πίστεως. » Λέγει πρὸς αὐτὸν τὸ πανέντιμον γύναιον· « Τὸ μὲν ὑπὲρ Χριστοῦ τοιαῦτά τινα παθήματα ἀναδέξασθαι τὴν ὑμετέραν ἀκαταγώνιστον σπουδὴν καὶ πάνυ ἀποδοχῆς ἀξιοῦσα,

36. — 1. *ita emendandum*, ὡς U.
38. — 1. *ita* V. — 2. *correxi*, ὥσπερ τι U.

χαρᾶς οὐ τῆς τυχούσης πληροῦμαι· ἐπὶ πλεῖον γὰρ εὐφράνθην ἂν δοξάσασα τὸν Θεόν, εἰ καὶ τελειωθέντας εἶδον ὑμᾶς τῷ μαρτυρίῳ· τὸ δὲ κλαίειν καὶ δάκρυον καταχέειν ἐπὶ τοιούτοις ἀλγεινοῖς καὶ ἀνυποίστοις παθήμασιν ἀνθρώπινον πάθος καὶ τῆς φύσεως ἴδιον. »

41. Ἀποκρίνεται πρὸς αὐτὴν ὁ τληπαθέστατος ἱερεύς· « Αἱ διὰ Χριστὸν θλίψεις βασιλείας οὐρανῶν πρόξενοι γίνονται, πρὸς ἀνάπαυσιν αἰωνίων ἀγαθῶν προπέμπουσαι· στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδός, ὥς φησιν ὁ Κύριος, ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ οἱ εὑρίσκοντες αὐτὴν ὀλίγοι καὶ ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Καὶ ὁ μακάριος ἀπόστολος Παῦλος τῶν οἰκείων παθημάτων μνήμην ποιούμενος « αἱ θλίψεις » ἐπιφέρει « ὑπομονὴν κατεργάζονται » ἀλλὰ καὶ τῶν λοιπῶν ἁγίων ἀναγράφων τὰ κατορθώματα, ὧν οὐκ ἦν, φησίν, ἄξιος ὁ κόσμος. Καὶ σὺ οὖν, ὦ πιστότατον γύναιον, χαῖρε μᾶλλον ἐπὶ ταῖς τῶν ἁγίων θλίψεσιν, ὅτι πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ τῷ πληθυσμῷ αὐτῶν ἀναλόγως ἡ τοῦ Θεοῦ παράκλησις χορηγουμένη εὐφροσύνης καὶ ἀγαλλιάσεως ἐμπίμπλησιν. »

42. Τῆς δὲ ἡμέρας ὑπομειδιώσης ἤδη τοῖς πρὸς τὸν ὁρίζοντα τοῦ ἡλίου ἀπαυγάσμασι, βαστάσαντες αὐτοὺς πάλιν τῇ εἱρκτῇ ἐναποτίθενται. Ἐπὶ δὲ μησὶν ἓξ ὑπὸ τῶν αὐτῶν ἀλγηδόνων καὶ πόνων καὶ ἀφορήτων ὀδυνῶν κατεσθιομένων, συνέβη ἐν τῷ μεταξὺ διαδεχθῆναι τῆς ἀρχῆς τὸν τούτους ἀνετάζοντα ἡγεμόνα, ἕτερον δὲ ἀντ' αὐτοῦ προχειρισθῆναι δεινόν τινα καὶ σκληρότατον τοὔνομα Ζερώθ, ὠμότητι καὶ ἀπανθρωπίᾳ τοὺς πρὸ αὐτοῦ πάντας ὑπερβαλόντα. Ὃς καὶ πρόσταγμα βασιλικὸν παρανομίας ἔμπλεων εἴληφεν, καθά μοι εἴρηται καὶ πρώην, ὥστε τοὺς κατασχεθέντας ἁγίους ὑπ' αὐτῶν τῶν χριστιανικῶν χειρῶν λίθοις βαλλομένους οὕτω βιαίῳ θανάτῳ τὸν βίον μεταλλάττειν.

43. Διαφημισθέντος δὲ τοῦ τοιούτου δόγματος, ἅπαν τὸ τῶν χριστιανῶν σύνταγμα δούλων τε καὶ ἐλευθέρων μειζόνων τε καὶ ἐλαττόνων φυγῇ χρησαμένων, οἱ μὲν σπηλαίοις, οἱ δὲ ὄρεσιν ἑαυτοὺς κατακρύπτοντες, τὸ παράνομον καὶ μυσαρώτατον ἔσπευδον διαδρᾶναί που πρόσταγμα. Τοῦ δὲ τὴν ἀρχὴν ἐγκεχειρισμένου ἐπιχωριάσαντος τῇ αὐτῇ πόλει καὶ πρὸς τὸν ναὸν τοῦ παρ' αὐτῶν τιμωμένου πυρὸς εἰσεληλυθότος εὔξασθαι, λέγουσιν πρὸς αὐτὸν οἱ τοῦ πυρὸς λατρευταὶ καὶ τῆς μελλούσης γεέννης κληρωταί· « Εἰσί τινες παρ' ἡμῖν τῆς τῶν λεγομένων χριστιανῶν πολιτείας ἐπὶ τριετῆ καὶ πλείονα χρόνον ἐγκεκλεισμένοι ἐν ἀφεγγεῖ φρουρᾷ, οὓς ὁ πρὸ τῆς ὑμῶν ἐξουσίας κατάρχων αἰκισμοῖς καὶ βασάνοις περιβαλὼν ἀφορήτοις τῆς οἰκείας μεταθέσθαι θρησκείας οὐδαμῶς παρέπεισεν. » Ὁ δὲ ταῦτα ἀκούσας κελεύει παραυτίκα τούτους ἀχθέντας τῷ βήματι αὐτοῦ παραστῆναι. Τῆς δὲ τάξεως τὸ κελευσθὲν ποιησάσης, ὀργιλώτερον κινηθεὶς καὶ ἀπειλησάμενος, ὡς ἂν ἐκφοβῶν κατασείσῃ τούτων τὸ φρόνημα, λέγει πρὸς αὐτούς· « Ὦ λαὸς τολμητίας καὶ σκληροτράχηλον ἔθνος, οὐ κατέπτηξεν ὑμᾶς ἡ τοῦ μεγίστου βασιλέως Σαβωρίου ἀήττητος ἐξουσία, ὃς πόλεις μὲν ὀχυρὰς κατέστρεψε βασιλείας τε μεγάλας ἠρήμωσε καὶ πάσας τὰς ὑπ' αὐτὸν τελούσας χώρας τε καὶ ἐπαρχίας τῇ οἰκείᾳ δυναστείᾳ ὑπέταξεν; ἀλλὰ καὶ ἐν τῇ γῇ αὐτοῦ προσκαθεζόμενοι δίκην προσηλύτων, ἀναπαύσεώς τε καὶ τῶν ἄλλων αὐτοῦ καταπολαύοντες ἀγαθῶν, οὕτως ἀνταίρετε κατὰ τῆς βασιλείας καὶ τῶν διαταγμάτων αὐτοῦ καὶ νόμων καταφρονοῦντες ἐξουθενεῖτε καὶ διαπτύετε; »

44. Ὁ τρισόλβιος Ἰωσὴφ ἀπεκρίθη· « Εἰ τυραννίδα κατὰ τοῦ βασιλέως ὑμῶν, ὡς φής, μελετήσαντες, ὅπλα κατ' αὐτοῦ ἐκινήσαμεν, φανερῶς ἀναφανέντες πολέμιοι, ἔδει καὶ αὐτὸν στρατιωτικὰς φάλαγγας ἀναλαβόμενον, οὕτω πρὸς ἡμᾶς χωρῆσαι ἀντιπαραταξάμενον, ὃν τρόπον κατὰ τῶν λοιπῶν ἐναντίων πεποίηκεν· ἐπειδὴ δὲ ἡμεῖς κατὰ τὸν ἡμέτερον καθηγεμόνα ταῖς ἐξουσίαις ὡς ὑπὸ Θεοῦ τεταγμέναις ὑποτάσσεσθαι μεμαθήκαμεν καὶ ἑαυτοὺς παραδιδόαμεν εἰς τὰς ἀνόμους ὑμῶν χεῖρας ὡς θύματα ἐπὶ σφαγὴν ἀγόμενα, διὰ τοῦτο καὶ σὲ βατράχων δειλότερον ὄντα τὴν τοιαύτην ἐνεχείρισε καθ' ἡμῶν ἐκστρατείαν, οὐ πολέμου νόμῳ συλλαβεῖν, δι' οὗ καὶ νίκης ἐγείρεται τρόπαιον, ἐν οὐδενὶ γὰρ ὁ τῆς ἀνδρείας σου τρόπος ἑτέρῳ τινὶ εὔχρηστος, πλὴν εἰ μὴ κατὰ γυναικῶν θαλαμευομένων ταύτην ἐπιστήσειας, ἀλλ' ἀπάτῃ καὶ θωπείαις δελεάσαι τῶν ἀφελεστέρων τὰς διανοίας τοῖς ὑμῶν ἀσεβέσιν ἐξακολουθῆσαι θεσπίσμασιν· ἡμῶν δὲ ὅπλα τε καὶ στρατιὰ καὶ παρατάξις ἡ πρὸς τὸν ἡμέτερον Θεὸν ἐλπὶς καὶ ἀγάπη ἐστίν· καὶ αὐτοῦ τῷ λόγῳ πειθόμενοι τῶν ὑμετέρων καταφρονοῦμεν νόμων καὶ δογμάτων, ἃ καὶ ὡς πικρίας βοτάνην καὶ ἀσεβῆ πόσιν λογιζόμενοι οὐδὲ ταῖς ἀκοαῖς παραδεχόμεθα. »

45. Ὁ τῆς τυραννίδος προκαθήμενος ἀντέφησεν· « Ὡς ἔοικεν, τῇ ἐμῇ μακροθυμίᾳ καταχρώμενος καὶ σπουδάζων ταύτην θυμῷ ἀνταλλάξασθαι, τὰς τοιαύτας ὕβρεις καὶ λοιδορίας ἐπενεγκεῖν μοι διανενόη-

σαι, οἰόμενος τάχιον ἀπαλλαγῆναι τῶν μενόντων[1] κολαστηρίων καὶ τῇ διὰ ξίφους τιμωρίᾳ τελειωθῆναι, οὐχ οὕτως δέ σοι ἀποβήσεται, ἀλλὰ τῇ συνήθει χρησάμενος ἀνοχῇ μακροθύμως καὶ κατὰ μικρὸν ἐξαναλώσω σε, καθὼς ἂν ἐπιθυμῇ ἡ ψυχή μου. » Ὁ καρτερικὸς ἀδάμας πρὸς τὸν τύραννον ἀντέφησεν· « Οἶδα, φησίν, ὅτι ὡς ἀσπὶς τὰ ὦτα βύουσα πρὸς ἀκρόασιν θείων λογίων κωφεύειν προήρησαι· τὸ δὲ στόμα σου ἀρᾶς καὶ πικρίας γέμον σκολιότητός τε καὶ πονηρίας καὶ θυμοῦ δρακόντων ἀναπέπλησται· διὰ τοῦτο τὰς μὲν ἀθέους σου χεῖρας ἀκρατῶς πρὸς μιαιφονίαν ἐκτείνεις· οἱ δὲ πόδες σου ὀξεῖς εἰς τὸ ἐκχέαι αἷμα ἀθῷον· σύντριμμα δὲ καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς σου ἀποστολικῶς εἰπεῖν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνως, δι' ἧς οἱ ἐν Χριστῷ δικαιούμενοι τῆς ἐκεῖθεν μακαριότητος ἐπιτυχεῖν ἐλπίζομεν. »

46. Θυμοῦ δὲ πλησθεὶς ὁ ἐπάρατος κελεύει ἐξ ἄκρων τῶν ποδῶν σχοινίοις ἀναρτώμενον κατὰ κεφαλῆς κρεμασθῆναι, δέρρεσι δὲ ὠμοῖς παραστάντας τινὰς ἀνηλεῶς ἐπιξαίνειν τὰ τῶν πληγῶν τραύματα. Καὶ τοῦ ἔργου τελεσθέντος, ἐπὶ τοσοῦτον ὠμότητος ἤλασαν, ὥστε τοῦ σώματος ὅλου καταδαρθέντος τῶν τε φλεβῶν ἀνευρυσθέντων, ὡς ἐκ πηγῆς τινος καταρρεῖν τὰ τοῦ νικηφόρου μάρτυρος αἵματα. Τὸ δὲ περιεστὸς πλῆθος τὴν τυραννικὴν διασύροντες ἀπανθρωπίαν, πρὸς οἶκτον καὶ δάκρυα κινούμενοι, τοῦ τιμιωτάτου πρεσβύτου τὴν καρτερίαν ἐθαύμαζον. Τινὲς δὲ τῶν τῆς μαγίας ἀρχηγῶν κρυφιώτερον δῆθεν πρὸς αὐτόν· « Εἰ αἰσχύνῃ τὴν δημοσίαν ὄψιν, ἔλεγον, ἐν τῷ τοῦ θεοῦ ἡμῶν ναῷ λαθραίως σὺν ἡμῖν εἰσελθὼν θῦσον καὶ ἀπαλλάγηθι τῶν τοιούτων κολάσεων. »

47. Ὡρῶν δὲ τριῶν διελθουσῶν καὶ τοῦ μάρτυρος ἐν ἀγαλλιάσει ψυχῆς τοῖς δεινοῖς ἐγκαρτεροῦντος, ἐς ὅσον ἰσχύος εἶχεν, ἀνεβόησεν· « Ἀπόστητε ἀπ' ἐμοῦ οἱ τῆς ἀνομίας ἐργάται, ὅτι κύριος εἰσήκουσε τῆς δεήσεώς μου· ὕλη πυρὸς αἰωνίου, ἐφ' ὅσον ἀσεβείας ἔχεσθε, τὰ φθαρτὰ ὑμῶν γένοιτο σώματα· τῷ αὐτῷ γὰρ κρίματι κριθήσεσθε ἤτοι τῷ τελευταίῳ πυρὶ βαπτισθησόμενοι. » Καὶ δὴ κατενεχθέντος αὐτοῦ κελεύσει τῆς τυραννικῆς παροινίας· « Ὑπείκεις, ἔφη, τῷ τοῦ βασιλέως προστάγματι, ὦ φλήναφον στόμα, καὶ ζωῇ τὸν θάνατον ἀντικαταλλάσσεις ἢ οὔ; » Ὁ τῆς ἀληθείας ὁπλίτης ἀπεκρίθη· « Μὴ γένοιτό μοί ποτε τοιαύτης ἐπιθυμῆσαι ζωῆς. »

48. Ὁ τῆς κακίας ἀρχιτέκτων ἀνθυποφέρει· « Τί δέ; προτιμητέος παρὰ σοὶ ὁ θάνατος τοῦ ζῆν; » Ὁ χριστομάρτυς πρὸς τὸν τύραννον φησίν· « Ὁ παρὰ σοὶ θάνατος ζωὴ τοῖς εὖ φρονοῦσι γίνεται· ἡ δὲ ζωή, ἣν ὑμεῖς χαρίζεσθε, θάνατον αἰώνιον κατεργάζεται. Τοῦ μὲν γὰρ σώματος ἐξουσιάζεις, ὃ καὶ φθορᾷ παραδίδοται διαλυόμενον, ψυχῆς δὲ τῆς ἀσωμάτου καὶ λογικῆς οὐδαμῶς κυριεύετε ὑμεῖς οἱ τυραννοῦντες, καθὼς καὶ ὁ ἡμέτερος κύριος ἐν εὐαγγελίοις φησίν· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Καὶ ἡμῖν μὲν ἐπηγγέλη, ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτόν, ὑμῖν δὲ πῦρ ἄσβεστον καὶ σκότος ἐξώτερον καὶ κλαυθμὸς ἀπαράκλητος, καθὼς γέγραπται· ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. »

49. Ὁ τῆς ἀσεβείας ἔξαρχος ἔφη· « Ὡς ἔοικεν, μεγάλας ἡμῖν χάριτας ὁμολογεῖν ὀφείλεις, εἰ τοιούτων σοι πρόξενοι ἀγαθῶν γενησόμεθα· πάντως δὲ καὶ μετόχους ποιήσεις ἡμᾶς τῶν τοιούτων μεγίστων εὐεργεσιῶν. » Καὶ ὁ ἅγιος πρὸς αὐτόν· « Τὸ ἀγαπᾶν τοὺς ἐχθροὺς καὶ τοῖς μισοῦσι καλῶς ποιεῖν καὶ προσεύχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων, δεσποτικῆς ἐντολῆς παράγγελμα τυγχάνον, ἀναγκαίως ἐστὶ κεχρεωστημένον παρ' ἡμῶν ἐκτελεῖσθαι, ἐφ' ὅσον παραμένειν συγχωρούμεθα τῷ παρόντι βίῳ. Διὸ καὶ εὐχόμεθα, ὡς εἴρηται, μεταθεμένους ὑμᾶς τῆς ἀσεβείας πρὸς τὴν ἀμείνω πολιτείαν ἀνθυποστρέψαι, ἐν δὲ τῷ μέλλοντι αἰῶνι οὐχ ἡμῖν δέδοται κολάσεως ἐξαιρεῖσθαι ἢ ἀμοιβὰς ἀποτιννύειν, ἀλλὰ μόνῳ τῷ ἐξουσίαν ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. Ἀδελφὸς γάρ, φησὶν ἡ γραφή, οὐ λυτροῦται, οὐδὲ ἄνθρωπος ἄρα λυτρώσεται. »

50. Ἀντέφησεν ὁ δυσμενέστατος· « Ἐν τῷ τέως τὰς τοιαύτας ἐρεσχελίας ἀπολιπὼν καὶ πρὸς τὴν ἐλπιζομένην σοι ζωὴν ταμιευσάμενος, τῷ βασιλικῷ πείσθητι προστάγματι, ἐπεὶ τοιαύταις αἰκίαις εἰς τὴν λεγομένην παρὰ σοὶ μακαριότητα παραπέμψω τὸ γῆράς σου, ὥστε διὰ σοῦ καὶ τὸ λοιπὸν πλῆθος τῶν χριστιανῶν ἐκφοβῆσαι. » Ὁ τοῦ Χριστοῦ ἀθλητὴς πρὸς αὐτόν· « Ἡ ἐμὴ ἔφεσις αὕτη ἐστὶ τὸ διὰ τάχους πρὸς τὰς αἰωνίους παραπεμφθῆναι μονάς· κἂν ἄλλας δὲ τιμωρίας μοι ἐπαγάγῃς μυρίας, κἂν μετὰ σὲ ἕτερος, ἐν τῇ

45. — 1. *ita* U, *addendum videtur* σε.

χάριτι τοῦ Χριστοῦ τετελειωμένος εὑρεθήσομαι. Ἔγω γὰρ τὸν ἐνισχύοντά με Θεόν, δι' ὃν καὶ ταῦτα ὑπομένειν εἱλόμην. Οἱ δὲ βλέποντές με χριστιανοὶ ἐν τοιούτῳ βαθεῖ καὶ μακρῷ γήρᾳ τὸν τῆς ἀλαζονείας σου τῦφον καταπατοῦντα, τῆς ἀρετῆς ἀγάμενοι καὶ μέγιστον ὑπόδειγμα γενναιότητος καὶ ὑπομονῆς παράδειγμα τῆς πρὸς τὰ δεινὰ καρτερίας ἔχοντες, τῆς ὁμοίας οὐκ ἀπολειφθήσονται μιμήσεως. » Καὶ ὁ πυρσολάτρης τούτων ἀκούσας κελεύει, ἐπεὶ τοῖς ποσὶ κινεῖσθαι οὐκ ἠδύνατο, βασταζόμενον ὑφ' ἑτέρων τῷ δεσμωτηρίῳ αὖθις ἐγκατακλεισθῆναι.

51. Πρὸς δὲ τὸν μακάριον ἐπιστραφεὶς Ἀειθαλᾶν[1]· « Σὺ δέ[2], φησίν, ἔτι τῇ αὐτῇ ἐπιμένεις ἀνοίᾳ καὶ τὴν τοῦ μεγίστου φωστῆρος ἀποποιεῖ προσκύνησιν; » Ὁ[3] τῆς εὐσεβείας προασπιστὴς ἀποκρίνεται[4]· « Ζῇ κύριος Ἰησοῦς Χριστός, ὁ τοῦ ζῶντος Θεοῦ υἱός, εἰς ὃν ἐν ἀληθινῇ καρδίᾳ ἤλπισα, ὡς ἀμετάθετον κέκτημαι τὸν λογισμὸν πλέον ἔγωγε τῶν ἄλλων, σὺν Θεῷ δὲ φάναι, καὶ οὐκ κἂν ποτε τὴν τιμὴν τοῦ πεποιηκότος τοῖς κτίσμασιν ἀπονείμω[5]. » Παραχρῆμα δὲ κελεύει καὶ αὐτὸν τῶν ἀστραγάλων ἐξαρτώμενον καὶ κατὰ κεφαλῆς κρεμασθέντα τοῖς ὁμοίαις εὐτόνως αἰκίζεσθαι μάστιξιν. Ὁ δὲ μακάριος[6] ἐπεφώνει· « Χριστιανός εἰμι καὶ διὰ Χριστὸν ταῦτα πάσχω. Ἀκουσάτω πᾶς ἄνθρωπος ὁ φρονῶν ὅλως. »

52. Ἐπεὶ δὲ μετ' ὀλίγον κατενεχθῆναι τοῦτον[1] τῶν κρεμαστηρίων ὁ μανιώδης προσέταξεν, Μανιχαῖόν τινα δέσμιον ἐπί τινι παραπτώματι ἑαλωκότα κατὰ πρόσωπον τοῦ μάρτυρος ἵστησι[2] καὶ « Ὅρα, φησί, τοῦτον τὴν οἰκείαν πίστιν ἀρνούμενον », εἶτα τοῦ αἰκίζειν τοῦτον προτρεψάμενος, ἐπὶ μικρὸν μὲν ἀνανεύων ἐκεῖνος[3] ἀντείχετο μὴ ἔξαρνος[4] τῆς ἑαυτοῦ[5] θρησκείας γενέσθαι, τὴν δὲ τῶν αἰκισμῶν πύρωσιν μὴ ἐνεγκὼν ἀνάθεμα Μάνεντι καὶ τῇ διδαχῇ αὐτοῦ καὶ πᾶσι τοῖς βδελυρωτάτοις αὐτοῦ δόγμασι σφοδρῶς ἐπεβόα. Ἐπεὶ δὲ πάσης θυσίας ζῴου ἀπέχονται, ὡς τῆς πονηρᾶς ἀρχῆς ἀποστρεφόμενοι ποιήματα οἱ μιαρώτατοι, μύρμηκα τῷ Μανιχαίῳ προσάγουσι, προστάσσοντες ἀποκτεῖναι. Ὁ δὲ τὸ κελευσθὲν ποιήσας τὸν μύρμηκα λαβὼν[6] ἀνεῖλεν[7]· ὡς ἐν εὐφροσύνῃ δὲ γενόμενος ὁ ἅγιος ἐπὶ τῷ πραχθέντι καὶ τῷ ἐκ βάθους ἀναδοθέντι[8] ἐρυθήματι τὸ τῆς ὠχριάσεως ὑπόλευκον κερασάμενος, ὑπομειδιάσας φαιδρῷ τῷ προσώπῳ· « Τεταλαιπώρηκεν, ἔφη, ὁ ἐπάρατος Μάνης καὶ τὴν οἰκείαν φαυλίσας δόξαν δυστυχήματι μιαιφονίας περιέπεσεν. Ἐγὼ δὲ μακάριον ἐμαυτὸν[9] ἥγημαι, μᾶλλον δὲ τρισμακάριστον, ὅτι διὰ τοῦ εἰπόντος κυρίου Ἰησοῦ Χριστοῦ « ἐγὼ νενίκηκα τὸν κόσμον » ἀήττητος κατενώπιον βασιλέως καὶ δυναστῶν κατεφάνην· εἷς γάρ ἐστι Θεός, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ βασιλεία αἰώνιος. »

53. Θυμοῦ δὲ πλησθεὶς ὁ ἀπηνέστατος[1] κελεύει τοῦτον ῥοπάλοις τοῖς[2] ἐκ ῥοῶν ἠκανθωμένοις[3] ῥαβδίζεσθαι. Ἐπὶ δὲ τοσοῦτον[4] ἡ πληγὴ βαρυνθεῖσα καθήψατο τούτου[5], ὥστε καὶ τῶν φρενῶν αὐτοῦ ἀλλοιωθεισῶν ἀνεπαισθήτως διακεῖσθαι πρὸς τὰ τελούμενα. Διὸ καὶ σύραντες αὐτὸν ὡς ἤδη τεθνηκότα τῇ σύνεγγυς ὁδῷ παραρριπτοῦσιν. Εἷς δέ τις, τῶν τῆς μαγικῆς μερίδος τυγχάνων, τὸ τληπαθέστατον ἐκεῖνο σῶμα θεασάμενος γυμνωθὲν καὶ πρὸς τὴν ἀνθρωπίνην φύσιν ἀπιδὼν σπλάγχνα τε οἰκτιρμῶν ἐνδειξάμενος, τὴν ὡς εἰπεῖν εὐσχήμονα γύμνωσιν τοῦ τρισμάκαρος τῷ ἑαυτοῦ σαγίῳ ἐσκέπασεν. Οἱ δὲ τῆς ὁμοίας μετέχοντες μαγικῆς τέχνης ἑταῖροι αὐτοῦ ἐνδιαβάλλουσιν αὐτὸν πρὸς τὸν ταύτης ἀρχηγόν. Ὁ δὲ ταθέντα τοῦτον τετραμερῶς κελεύσας, οὕτω ταῖς μάστιξι κατηκίσατο[6] ἀνηλεῶς, ὡς καὶ ἀφωνίᾳ τοῦτον παντελεῖ συσχεθῆναι· πλὴν εἰ μὴ τάχα τις ἐξεταστικὸς νοῦς φαίη ἀνθρωπίνην διάνοιαν δοκιμάζων, εἰδὼς ὡς ἄρα ἐνενόει ὁ τοιοῦτος ἔλεον[7] παρὰ τῆς ἄνω προνοίας ἀντ' ἐλέου λαβεῖν καὶ διὰ τοῦτο τοῖς δεινοῖς ἐνεκαρτέρει. Τὸν δὲ μακάριον Ἀειθαλᾶν ἔτι ἐμπνέοντα τῷ δεσμωτηρίῳ, ἐν ᾧ ἦν ὁ συναθλητὴς αὐτοῦ[8], κατακλείσαντες ἐπαφιᾶσιν.

54. Ὁ δὲ τῆς ἀνομίας ἐργάτης μαθὼν τινα τῶν μεγίστων ἀρχόντων Σαβώριον τοὔνομα τῇ κώμῃ αὐτοῦ[1] Μακελαρίᾳ[2] καλουμένῃ, τῇ κακίᾳ τῶν ἐνοικούντων φερώνυμον καὶ τὴν κλῆσιν ἐχούσῃ, ἐπιχωριάσαντα, τοὺς ἁγίους παραλαβὼν τῷ νέῳ προσάγει δικαστῇ. Αὐτῶν δὲ παραστάντων, ἔφη ὁ ἄρχων· « Φειδόμενος τῆς πολιᾶς ὑμῶν ἰδοὺ[3] παραινῶ προσκυνήσαντας ὑμᾶς[3] τῷ ἡλίῳ καὶ τοῦ[3] ἐκ θυσιῶν

51. — 1. εἶπεν *add*. C. — 2. δὲ *om*. C. — 3. ἅγιος Ἀειθαλᾶς ὁ *add*. C. — 4. λέγει C. — 5. ἀπονέμω C. — 6. Ἀειθαλᾶς *add*. C.

52. — 1. *om*. C. — 2. ἵστησι τοῦ μάρτυρος C. — 3. *om*. C. — 4. ἔξαρνον C. — 5. ἑαυτῆς C. — 6. *om*. C. — 7. ἀπέκτεινεν C. — 8. (καὶ-ἀναδοθέντι) *om*. C. — 9. ἑαυτὸν C.

53. — 1. τύραννος *add*. C. — 2. ταῖς C. — 3. ἠκανθημέναις C. — 4. ἐπὶ τ. δὲ C. — 5. αὐτὸν C. — 6. κατηκίσαντο C. — 7. ἔλαιον C. — 8. καὶ μακάριος Ἰωσὴφ *add*. C.

54. — 1. αὐτοῦ κώμῃ C. — 2. Μακελαρέα C. — 3. *om*. C.

αἵματος ἀπογεύσασθαι, ὡς ἂν τοῦ πικροῦ ῥυσθέντες θανάτου τὴν παροῦσαν ζωὴν ἀποκερδήσητε. » Οἱ ἅγιοι ὡς ἐξ ἑνὸς στόματος εἶπον· « Εἴθισται τοῖς σαρκοβόροις μᾶλλον κυσὶ λάπτοντας τῇ γλώττῃ αἱμάτων ἀπογεύεσθαι· καὶ σὺ τοίνυν, ὄμμα [4] τε καὶ ἀναίδειαν κυνὸς ἐνδεδυμένε, οἷα καὶ φανερῶς καὶ κρυφίως ἔργον τοῦτο κτησάμενος, τῶν παρὰ σοῦ προτεινομένων ἐν προτιμήσει ἔσο. »

55. Ὡς δὲ μαστίζεσθαι τούτους ἐκέλευσεν, οἱ παρεστηκότες πρὸς ἔλεον τραπέντες· « Ἀντὶ αἵματος, ἔλεγον, ἐψήματος ἀπογευσάμενοι σώθητε ἀπὸ τῆς ἀνάγκης ταύτης. » Οἱ δὲ ἅγιοι πρὸς αὐτούς· « Μὴ γένοιτο ἡμῖν [1] ὡς ἐν ἐπικαλύμματι τὴν εἰλικρινῆ προδοῦναι πίστιν ἡμῶν καὶ τὸ πολυχρόνιον γῆρας αἵματος μιασμῷ καταμολῦναι. » Ὁ δὲ ποικίλος ἐν κακίᾳ καὶ θωπευτικὸς ἐν πανουργίᾳ [2] ἄρχων ἔφη [3]· « Κρέατος δὴ [4] καθαροῦ ἐνεχθέντος ὑμῖν, ὡσανεὶ μὴ πνικτοῦ μηδὲ εἰδωλοθύτου τυγχάνοντος, οὐδὲ τούτου ἀπογεύσοισθε; » Οἱ ἅγιοι εἶπον· « Ἐξ ἀκαθάρτου τί καθαρισθήσεται καὶ ἐκ τῶν σῶν μεμιασμένων χειρῶν τίς ὡς καθαρὸν ἀποδέξεται βρῶμα; τὰς τοίνυν περιττολογίας ἐάσας σύντομον καθ' ἡμῶν ποιῆσαι τὴν ἀπόφασιν μὴ ἀνάβαλλου. »

56. Συμβούλιον δὲ ἑκάτεροι ποιήσαντες εἰς τὸ χερσὶ χριστιανῶν καθ' ἕνα τούτων καταλευσθῆναι, ὡς ἂν ἐκ τῶν οἰκείων τῆς πίστεως τὸ τῆς μιαιφονίας ἐκτελεσθῇ μῦσος, ἐπισυνάγουσιν ἔκ τε τῆς πόλεως καὶ τῶν πέριξ χωρῶν πλῆθος ἱκανὸν χριστιανῶν, μεθ' ὧν καὶ ἡ θαυμασία Εἰσδανδοὺλ κατεσχέθη, αὐτουργοὺς τῆς ἀνοσιουργοῦ ταύτης πράξεως γενέσθαι· καὶ δὴ τὸν ἱερώτατον [1] πρεσβύτην [2] Ἰωσὴφ ἐντεῦθεν καὶ ἐντεῦθεν ὑπερείδοντες, ὡς ποσὶν οἰκείοις κινηθῆναι μὴ δυνάμενον, ἱστῶσιν αὐτὸν ἀπέναντι τοῦ δικαστηρίου, μικροῦ μηδὲ [3] εἶδος ἀνθρώπου φέροντα. κατὰ τὸ δὴ λεγόμενον προφητικῶς εἰς τὸν κύριον· « Εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον [2] ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. »

57. Νεύει τοιγαροῦν [1] τῷ τῆς ἀσεβείας ἡγεμόνι πρὸς αὐτὸν δῆθεν παραγενέσθαι. Ὁ δὲ μετὰ σπουδῆς ἐξαναστὰς ὡς ἀπόρρητόν τι ἀκουσόμενος προσεγγίζει τῷ μάρτυρι. Αὐτὸς δὲ τὸ στόμα αὐτοῦ σιέλου πληρώσας εἴς τε [2] τὸ πρόσωπον αὐτοῦ σὺν δυνάμει πάσῃ ἐμπτύσας ἐξεμυκτήρισεν εἰπών· « Ἄθλιε καὶ ταλαίπωρε, οὐκ αἰσχύνῃ κατὰ τῆς ταπεινῆς ταύτης φύσεως νεανιευόμενος, ἀλλὰ σῶμα δίκην νεκροῦ περιφέρων πρὸς ἐξέτασιν ἢ παράστασιν ἀνερωτῶν ἄγεις; ὁ τοσοῦτος χρόνος οὐ παρέπεισε τὴν ἀμεί-λικτόν σου ψυχήν, ὡς αὐτός εἰμι τῆς ἀληθείας μὴ μετατιθέμενος καὶ μέχρι θανάτου πρὸς τὰς βασάνους ὑμῶν ἀντικαθιστάμενος; » Ὁ δὲ [3] τοῖς τοῦ πρεσβύτου νεύμασιν ἀξίως ἀπατηθείς, παρὰ τῶν συνεδρευόντων τῷ ἄρχοντι οὐκ ὀλίγα δεξάμενος ὀνείδη, κατησχυμμένος πρὸς τὴν οἰκείαν ἀνθυπέστρεφεν [4] καθέδραν· τὸν δὲ ἅγιον πορρωτέρω που διαστήσαντες τάς τε χεῖρας ὀπισθίως ἀπαγκωνίσαντες καὶ βόθρον ὀρύξαντες, μέχρι τῆς ὀσφύος καταχωννύουσιν· εἶτα τοὺς ἐκ τῆς περιοικίδος χριστιανοὺς ἀθροίσαντες, λίθους κατ' αὐτοῦ βάλλειν τύπτοντες ἠνάγκαζον.

58. Σὺν οἷς καὶ ἡ μακαρία Εἰσδανδοὺλ ὑπ' αὐτῶν κατεβιάζετο τῆς ἀνοσιουργοῦ ταύτης ἐγχειρήσεως αὐτόχειρ γενέσθαι, ἥτις καὶ παρρησιασαμένη ὡς ἐπὶ τῇ ἀμωμήτῳ καὶ εἰλικρινεῖ πίστει τοῦ σωτῆρος ἡμῶν ἑδραῖον ἔχουσα τὸ φρόνημα, πρὸς τοὺς καταργουμένους ἄρχοντας τοῦ αἰῶνος τούτου ἐβόησεν· « Ἐξ αἰῶνος οὐκ ἠκούσθη καταναγκάζειν γυναῖκας ἐπὶ ἄνδρας ὁσίους μιαιφόνους χεῖρας ἐκτεῖναι, καθὼς τὸ ὑμέτερον ἀσεβὲς καὶ κενὸν πρόσταγμα ἐκβιάζεται· ἀφέντες γὰρ τὸ κατ' ἐχθρῶν δυσμενῶς πρὸς ἡμᾶς ἐχόντων μάχην ἀναδέχεσθαι, κατὰ γυναικῶν ἀνακινεῖτε τὸν πόλεμον καὶ τὴν πρὸς τὴν ὑμετέραν ἀσθένειαν σχολὴν ἐν εἰρήνῃ διάγουσαν τὴν πατρίδα παντοδαπῶν ἀνεπλήσατε πολέμων, οἷα καὶ τὰ νῦν ἐπὶ αἵματος ἀθῴου χολούμενοι τὴν ἐνοῦσαν ἰσχὺν καὶ τὸν θυμὸν ἐν τοιούτοις ὁλοσχερῶς ἐπιστρέφετε. » Οἱ δὲ ὀβελίσκον ἐν μακρῷ ἐξαρτήσαντες καλάμῳ· « Εἰ οὐ βούλει, φασίν, λίθων βολαῖς κατ' αὐτοῦ χρήσασθαι, κἂν ἐν τούτῳ κέντησον αὐτόν, ὡς ἂν τὴν τοῦ βασιλέως ὀργὴν σβέσῃς, τῶν ἡμετέρων ἐπακούσασα παραινέσεων. » Ἡ δὲ πάλιν· « Μὴ γένοιτό μοι, φησίν, τοῦτο ποιῆσαι· αἱροῦμαι γὰρ μᾶλλον αὐτὸ τῇ οἰκείᾳ καρδίᾳ ἐγκαταπῆξαι ἢ τῷ τοῦ ἁγίου σώματι κἂν ἐπὶ μικρῷ προσψαῦσαι· τὸ μὲν γὰρ σῶμά μου πρόκειται ὑμῖν καὶ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς ὑμῶν ποιεῖτε, ὡς τὴν ἐξουσίαν εἰληφότες κατ'

4. ὄμματα C.

55. — 1. *om.* C. — 2. (δὲ-πανουργίᾳ) *om.* C. — 3. εἶπεν C. — 4. *om.* C.

56. — 1. μακάριον C. — 2. *om.* C. — 3. δὲ C.

57. — 1. ὁ ἅγιος *add.* C. — 2. *om.* C. — 3. ἀνόσιος τύραννος *add.* C. — 4. ἀνθυποστρέφειν C. C.

αὐτοῦ· τὴν δὲ τοῦ λογισμοῦ κυριότητα οὐκ ἂν κάμψητέ ποτε εἰς τὸν αἰῶνα[1] »· ἀλλὰ τῆς μὲν πανα-γάστου γυναικὸς ἡ ἔνστασις ἐν τούτοις ἐπεραιοῦτο.

59. Τὸν δὲ τοῦ πρωτομάρτυρος μιμητὴν ἐπὶ τοσοῦτον ταῖς τῶν λίθων βολαῖς ἐπέθεντο, ὥστε περικύκλῳ αὐτοῦ σωρείαν μεγίστην μέχρι κεφαλῆς αὐτοῦ διήκουσαν ἀποτελέσαι, ἀφ᾽ ἧς καὶ ὁ μυελὸς ἐκχυνόμενος τῷ ἐκεῖθεν αἵματι κεραννύμενος καὶ συναπορρέων θέαμα τοῖς ὁρῶσιν ἐλεεινὸν παρείχετο. Ἔτι δὲ τὴν μακαρίαν ἐκείνην κεφαλὴν κινουμένην τις τῶν ἀσεβῶν ἀρχόντων θεασάμενος προστάσσει τῶν δημίων ἑνὶ λίθον μέγαν χειροπλήθη βαστάσαντα κατ᾽ αὐτῆς ἐπαφεῖναι. Τῆς δὲ τῷ βάρει τελείως συντριβείσης, ὁ τῆς ἀληθείας μάρτυς τὴν αὐτοῦ τιμίαν ψυχὴν αὐτῷ τῷ Χριστῷ παρατίθησιν· φύλακας δὲ παρακαταστήσαντές ἐπὶ τρισὶν ἡμέραις, τὸ πολύαθλον ἐκεῖνο σῶμα ἐπιτηρεῖν παρακελεύονται. Τῇ δὲ τετάρτῃ σεισμοῦ γενομένου μεγάλου ἀνέμων τε σφοδροτάτων κινηθέντων καὶ βροντῶν καὶ ἀστραπῶν καταρραγέντων, τὸ μὲν ἄλλο πλῆθος πτοηθὲν φυγῇ τὴν σωτηρίαν πορίζονται· πῦρ δὲ οὐρανόθεν κατενεχθὲν τοὺς μὲν φύλακας αὐθωρὸν κατηνάλωσεν· ἡ δὲ σωρὸς τῶν λίθων διασκεδασθεῖσα τὴν τοῦ θεοφόρου σώματος ἐκείνου ὑπερανῳκισμένην εὔκλειάν τε καὶ τιμὴν ἐν Θεῷ φανερὰν τοῖς πᾶσι πεποίηκεν· μέχρι γὰρ τῆς σήμερον εἴτε θείᾳ δυνάμει μετατεθὲν εἴτε ἀνθρωπί| cetera desunt.

58. — 1. χρόνον *perperam add.* C.

XIII

ΑΘΛΗΣΙΣ[1] ΤΩΝ ΑΓΙΩΝ[2] ΤΟΥ[3] ΧΡΙΣΤΟΥ[3] ΜΑΡΤΥΡΩΝ ΑΚΕΨΙΜΑ, ΙΩΣΗΦ ΚΑΙ ΑΕΙΘΑΛΑ.

* T, fol. 16v 1. * Ἐλύττα κατὰ χριστιανῶν Σαβώριος ὁ Περσῶν βασιλεύς, τοῖς μάγοις τε μέρος οὖσι Περσῶν τὸν κατ᾽ αὐτῶν ἐπέτρεπε διωγμόν. Οἳ καὶ ἰταμώτερον, ἅτε ζηλωταὶ τῶν πατρῴων ἐθῶν, τοῖς διωκομένοις ἐπιτιθέμενοι πυρί τε καὶ ἡλίῳ τὸ σέβας νέμειν ἐξεβιάζοντο.

2. Οὗ δὴ χάριν καὶ Ἀκεψιμᾶς ὁ μακάριος ὑπ᾽ αὐτῶν συλλαμβάνεται· ὃς ἐκ πατρίδος μὲν ὥρμητο[1] Νασσῶν[2] — ὑπὸ τὰ Περσῶν ὅρια αὕτη τυγχάνει κειμένη, — ἐπισκοπικῷ δὲ τετίμητο ἀξιώματι γηραιὸς τὴν ἡλικίαν, ἔτος που ὀγδοηκοστὸν γενόμενος, γηραιὸς τὴν φρόνησιν, πρᾶος, ἀόργητος, ἐγκρατείᾳ συζῶν, τοῖς δεομένοις τῶν ὄντων μεταδιδούς[3], προσευχῆς ἐπιμελόμενος[4], χαρίεις τὸ εἶδος χαριέστερος τὴν ψυχήν, καὶ τῷ ἐκτὸς ἤθει τὴν ἐντὸς κατάστασιν τοῖς ὁρῶσι διασχηματίζων, ἔργῳ τε καὶ λόγῳ τὴν εὐσέβειαν καταγγέλλων, διδάσκαλος χριστιανοῖς καὶ βίου καὶ δογμάτων ὀρθῶν γενόμενος[5]. Ἐξ οὗ καὶ τὴν τῶν ἐναντίων παράταξιν, ἅτε πρὸς ἰσχυρότατον ἀνταγωνιστήν, εἰς ἑαυτὸν ὅλην[6] ἐξεκαλέσατο· περὶ ὃν δὴ καὶ πρὸ τοῦ συλληφθῆναι τοιοῦτόν τι προφητικῶς γίνεται.

3. Παῖς τις κατέψα τὴν αὐτοῦ κεφαλὴν τῶν διοχλουσῶν φθειρῶν ἐκκαθαίρων. Ταύτην οὖν ἀσπασάμενος· « Μακαρία, εἶπεν, ἡ φαλάκρα αὕτη, — ἐψίλωτο γάρ — ἥτις ἄρα[1] διὰ Χριστὸν μαρτυρήσει. » Ὁ δὲ ἥσθη τῷ ῥήματι καὶ τὸ παιδίον παραυτίκα ἀντασπασάμενος· « Γένοιτό μοι, τέκνον, ἔφη, κατὰ τὸ ῥῆμά σου. » Ἐπεὶ δέ τις συνήθης καὶ φίλος τῷ μακαρίῳ Ἀκεψιμᾷ λεγομένων τούτων παρῆν, — ἐπίσκοπος δὲ καὶ αὐτὸς τῆς ἐν[2] γειτόνων πόλεως ἦν — ἤρετο τὸ παιδίον ὑπομειδιῶν· « Εἰπέ μοι, τέκνον, εἰπών[3], εἴ τι καὶ περὶ ἡμῶν ἔγνωκας. » Ὁ δέ γε θεοφορούμενος παῖς· « Καὶ σοί, ἔφη, πρὸς τὴν πόλιν ἐπανιόντι τὴν σὴν οὐκ ἐξέσται ταύτην ἰδεῖν, ἀλλὰ κατὰ τὴν κώμην Ἀθραδαρὰν[4] καταλύσεις τὸν βίον. » Ἃ δὴ καὶ ἀμφοτέροις κατὰ τὴν[5] τοῦ παιδὸς ἐξέβαινε πρόρρησιν. Ἀλλὰ ταῦτα μὲν πρὸ τοῦ τὸν μάρτυρα συλληφθῆναι.

Tit. — 1. Μαρτύριον Z. — 2. καὶ ἐνδόξων *add.* Y. — 3. *om.* Z.

2. — 1. ὥρμη T. — 2. X, Y, Z *prima manu, corr.* Ναισσῶν; Ναησασσῶν T. — 3. μεταδιδοῦσι *corr.* Z. — 4. ἐπιμελούμενος X. — 5. γινόμενος X, Z. — 6. ὅλον T.

3. — 1. καὶ *add.* T. — 2. ἐκ *corr.* Z. — 3. X, Y, Z, εἰπέ T. — 4. Ἀδραδαρὰν X. — 5. κατὴν τὴν *manu recent.* Z

4. Ἐπεὶ δὲ καὶ ἑάλω καὶ διὰ τῆς ἑαυτοῦ[1] οἰκίας ἤγετο, τῶν τις συνήθων[2] πλησίον γενόμενος· « Διάταξαί τι περὶ τοῦ οἴκου σου, » πρὸς[3] οὓς αὐτῷ ἔφη. Ὁ δέ· « Αὕτη ἡ οἰκία, τῇ χειρὶ δείξας, οὐκέτι[4] ἐστὶν οἰκία μου· ἐγὼ γὰρ ἤδη πρὸς τὴν ἄνω ὅσον οὔπω καὶ μετοικίζομαι. »

5. Ἐν τῇ πόλει δὲ Ἀρβὴλ[1] γεγονὼς καὶ τῷ τῶν μάγων ἀρχηγῷ παραστὰς — ὄνομα αὐτῷ Ἀδραχοσγὰρ[2] ἦν[3] — εἰ χριστιανὸς εἴη, ἐπηρωτᾶτο. Ὡς δὲ μεγάλῃ τῇ φωνῇ τοῦτο εἶναι διωμολόγησεν· « Οὐκοῦν ἀληθῆ, ἔφη, τὰ περὶ σοῦ φημιζόμενα, ὡς βασιλικῶν τε εἴης προστάξεων καταφρονῶν καὶ ὡς ἕνα κηρύττεις Θεὸν ἀπεναντίας τῷ βασιλικῷ δόγματι; » Τὸ δὲ μακάριον ἐκεῖνο γῆρας οὐδὲν ὑποδειλιάσαν· « Πάντα ὅσα, φησί, τοιαῦτα περὶ ἡμῶν ἀκήκοας, ἀληθῆ τυγχάνουσιν ὄντα. Ἕνα γὰρ κηρύσσω Θεὸν κατὰ τὰς παρ' ἡμῖν[4] θείας γραφὰς καὶ τοῖς ὡς ἐμὲ φοιτῶσι τούτου πρεσβευτὰς εἶναι τοῦ δόγματος ὑποτίθημι. »

6. Καὶ ὁ μάγος· « Φρονήσει σε διαφέρειν τῶν πολλῶν ἀκηκόαμεν, ἥτις τῷ μακρῷ χρόνῳ καὶ τῇ πείρᾳ δοκιμωτέρα καθίσταται. Νῦν δὲ οὐχ οὕτως[1], ὥσπερ ἠκούσαμεν, καὶ ὁρᾶν πάρεστι[2]· διάκεισαι γὰρ παιδὸς ἀφραίνοντος κατ' οὐδὲν ἄμεινον· ἐπεὶ ποῦ τοῦτο[3] συνέσεως ἢ καλῶς ἐχούσης φρενός, τὸ βασιλικῶν δογμάτων καταφρονεῖν καὶ μὴ προσκυνεῖν ἐθέλειν τῷ τε λαμπροτάτῳ[4] ἡλίῳ καὶ τῷ πυρί, οἷς δῆτα καὶ βασιλεὺς αὐτὸς προσκυνεῖ; » Ὁ τοῦ Χριστοῦ ἀρχιερεὺς ἀπεκρίνατο· « Πολλά μοι δοκεῖ ἡ τῶν Περσῶν ἀνοηταίνειν ἀρχή, ὅτι τοῦ κτίσαντος ἀφεμένη λατρεύειν ἔγνω τοῖς κτίσμασι. Τίς γὰρ εὖ φρονῶν τὸ τοῦ Θεοῦ σέβας τοῖς ὑπὸ Θεοῦ περιθεῖναι πεποιημένοις ἀνέξοιτο[5], ὥσπερ ὑμεῖς[6] ποιεῖτε ἀνόσια δρῶντες καὶ αὐτός γε οὗτος ὁ ὑμέτερος βασιλεύς; »

7. Ὁ δέ· « Ἀνόσια δρᾶν ἡμᾶς λέγειν τολμᾷς, ἔφη, τηλικούτῳ προσκυνοῦντας στοιχείῳ καὶ ζωογόνῳ[1] ἡλίῳ λατρεύοντας, ἀνόσιε τἀληθὲς σὺ καὶ λῆρε καὶ ματαίου προστάτα θρησκεύματος; Ἀλλ' εἰ μὴ τῷ τοῦ βασιλέως εἴξεις προστάγματι καὶ προσκυνήσεις, οἷς ἄρα καὶ αὐτὸς προσκυνεῖ, οὔτε τὸ γῆράς σε τοῦ μὴ τὰ[2] ἀνήκεστά σε[3] παθεῖν ἐξαιρήσεται, οὐθ' ὃν λατρεύεις ἐσταυρωμένον Θεόν[4]. » Εἶτα ὁ θεῖος πρεσβύτης· « Ἐμφραγείη[5] σου[6] τὸ μιαρὸν στόμα, κατάρατε, ἔφη, εἴ με[7] δοκεῖς ταῖς ἀπειλαῖς σου μεταπείθειν, ὥστε πατρῴου δόγματος ἀποστῆναι, ὃ παιδόθεν[8] μεμαθηκὼς καὶ εἰς τήνδε τὴν πολιὰν ἔσωσα. Εἰ δέ με οὔτε τὸ γῆρας ἐξαιρήσεται, ὡς σὺ ἔφης, οὐθ' ὃν σέβω Θεόν[9], τῶν ὑμετέρων χειρῶν, οὐ παρὰ τοῦτο τὸ[10] χεῖρον ἐγὼ τοῦ κρείττονος ἀνταλλάξομαι. Τί γάρ μοι καὶ ταῖς ὀλίγαις τοῦ ζῆν ἡμέραις; Ἐπεὶ μετ' ὀλίγον τὸ κοινὸν τοῦτο τῆς φύσεως χρέος καὶ ὑμῶν ἄνευ ἀπαιτηθήσομαι. Οὐ προσκυνήσω ἡλίῳ, οὐ λατρεύσω πυρί. Οὐδείς μου[11] καταγελάσει τῆς πολιᾶς, οὐδεὶς ἐγκαλέσει μοι τὸ φιλόζωον, βραχείας ζωῆς ἀγαθῶν τοσούτων ἀποδομένῳ[12] μακαριότητα. »

8. Θυμοῦ ἐπὶ τούτοις ὁ μιαρὸς ὑποπίμπλαται, καὶ μάστιξι τὸ ἱερὸν γῆρας εὐθὺς καταικίζεται οὕτω βαρέως, ὥστε τῷ αἵματι μὲν ἅπαν περιλιμνασθῆναι τὸ ἔδαφος, μὴ καταλειφθῆναι δὲ μηδένα τόπον τοῦ σώματος ἀπαθῆ. Βραχὺ δὲ τῶν πληγῶν ἀνεθέντα κελεύει πάλιν δυσὶ περιδεθέντα ἁλύσεσι[1] τῷ βήματι παραστῆναι, καί· « Ποῦ ὁ Θεός σου, ὃν σέβῃ, Ἀκεψιμᾶ; » ἔλεγεν. « Ἐλθέτω καὶ τῶν ἐμῶν χειρῶν ἐξελέσθω σε ». « Ὁ ἐμός, ἔφη, Θεός, μιαρώτατε, τὸν οὐρανὸν πληρῶν καὶ τὴν γῆν δυνατός ἐστι καὶ τῶν σῶν χειρῶν ἐξελέσθαι με. Σὺ δὲ γῆ καὶ σποδὸς ὢν κατὰ τίνος ἄρα καὶ τολμᾷς ὑπερηφανεύεσθαι, οὗ ὑποκάτω στρωθήσεται σῆψις, ᾧ ἡ ζωὴ βαρυτέρα θανάτου, τὸν ζῶντα μὴ ἐγνωκότι Θεόν; Διὰ τοῦτο ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως[2] ξηρανθήσῃ, καὶ τὴν ζωὴν οἰκτρῶς καταστρέψας πυρὶ ἀσβέστῳ παραδοθήσῃ[3], ἵν', ὅπερ νῦν προσκυνεῖς, τοῦτο ἐκεῖ κολαζόμενος ἔργῳ μάθῃς, οὐ τὸ πῦρ εἶναι θεόν, ἀλλὰ καὶ αὐτὸ ἕτερον εἰδέναι δημιουργόν, ὃς καὶ πάντων ἐστὶ τῶν ὁρωμένων[4] Θεός. » Τούτοις θυμῷ πλείονι τοῦ μάγου διακαυθέντος, βαρύτεραι τὸν ἅγιον περιεδέσμουν ἁλύσεις, καὶ ἡ ἐσωτέρα τέως φυλακὴ ὑπεδέχετο.

4. — 1. X, Y, Z, αὐτοῦ T. — 2. συνήθων τις T. — 3. τὸ *add.* T. — 4. οὐκ X, Y.

5. — 1. Ἀρβὴ T. — 2. ἀδραχός γὰρ T. — 3. (ὄνομα-ἦν) ὄυ//// Z. — 4. X, Y, Z, *in rasura* T.

6. — 1. οὕτω'/// X. — 2. ////άρεστι Z. — 3. τὸ X, Z. — 4. *om.* T. — 5. ἀνέξεται Z. — 6. τε *add.* X.

7. — 1. ζωγόνω X. — 2. *om.* T, Y. — 3. *om.* Z. — 4. ἐσταυρωμένος Θεός Z. — 5. ἐμφραχθείη T. — 6. σοι Y, Z. — 7. ἐμέ X, Y. — 8. παιδό////ν Z. — 9. Θεὸς *corr.* Z. — 10. *om.* T. — 11. μοι T. — 12. ἀποδεδομένω T.

8. — 1. (κελεύει-ἁλύσεσι) ἁλύσεσι δυσὶ περιδεθέντα κελεύει πάλιν T. — 2. οὕτω Y. — 3. (καὶ τὴν-παραδοθήσῃ) *om.* T. — 4. δημιουργὸς καὶ *add.* Z.

9. Τῇ δὲ ἑξῆς καὶ ὁ τιμιώτατος κατεσχέθη πρεσβύτερος Ἰωσήφ, ἀπὸ κώμης Βηθλαβουθᾶ[1] καλουμένης ὁρμώμενος — ὃ τοῦ γράφοντος καλῶς ἑρμηνεύεται — γηραιὸς καὶ αὐτὸς καὶ τῶν Δαυϊτικῶν ἐντὸς ὅρων, ἑβδομηκοντούτης[2] ὑπάρχων. Ἐπέπρεπε[3] δέ τις τῷ γήρᾳ καὶ χάρις ὡραιότης τε τὴν τιμίαν πολιὰν ἐπιμᾶλλον ἐφαίδρυνεν· ᾧ ζήλου μὲν ἔπνεεν ἡ ψυχὴ καὶ τοῦ χριστιανῶν ἐκτόπως προΐστατο δόγματος σωφροσύνης τε ἀκριβοῦς εἴχετο καὶ τῷ[4] θείῳ φόβῳ τὴν καρδίαν συνείχετο[5]. Πρὸς τούτῳ καὶ ὁ σεβασμιώτατος διάκονος Ἀειθαλᾶς συλλαμβάνεται, — κώμη τοῦτον ἐθρέψατο Βηθροαδαρᾶ[6], — ἀνὴρ τῷ τε πνεύματι ζέων καὶ τῇ τοῦ Χριστοῦ ἀγάπῃ σφοδρῶς ἐκπυρούμενος· ἐλεγκτικὸν δὲ αὐτῷ τὸ ἦθος καὶ παρρησίας μεστόν, τὸν Ἡλιοῦ τοῦ μεγάλου τρόπον τῷ ἐλευθερίῳ, οἶμαι, τοῦ βίου καὶ τῇ[7] τῆς ψυχῆς ἑπόμενον καθαρότητι. Ἐπήνθει δέ τις αὐτῷ καὶ σεμνότης, ἐκ πάντων περιποιοῦσα τῷ ἀνδρὶ τὸ αἰδέσιμον.

10. Ἐπεὶ δὲ ἄμφω παρέστησαν τῷ δικάζοντι, βλοσυρῷ ὄμματι πρὸς αὐτοὺς ἀποβλέψας· « Ὦ δυσθανάτωτον[1], ἔφη, γένος, ἵνα τί τοὺς τῶν ἀνθρώπων ἀφελεστέρους ὑπιόντες καὶ τοῖς ὑμῶν διδάγμασι καταγοητεύοντες[2] τῇ τῶν χριστιανῶν ὑπάγετε θρησκείᾳ; » Ὁ μακάριος ἔφησεν Ἰωσήφ· « Ἡμεῖς οὔτε γοητεύειν οὔτε ἀπατᾶν μεμαθήκαμεν· ἀληθοῦς δὲ καὶ βεβαίου προϊστάμενοι δόγματος τοὺς πλανωμένους περὶ τὸ σέβας χειραγωγοῦμεν πρὸς τὴν ἀλήθειαν, Θεὸν ἕνα διδάσκοντες προσκυνεῖν δεσπότην μετὰ τῶν ἄλλων ἡλίου τε καὶ πυρός. » Καὶ ὁ μάγος φησίν· « Ποῖον δὲ δόγμα ἀληθείας ἐχόμενόν ἐστιν; ὅπερ ὁ πάσης γῆς βασιλεύων αὐτός τε καὶ μεγιστᾶνες αὐτοῦ πρεσβεύουσιν ἢ ὅπερ εὐτελεῖς καὶ ἠμελημένοι καθ' ὑμᾶς τοὺς ἠπατημένους κηρύττουσιν; » « Εὐτελεῖς μὲν ἡμεῖς, ὁ τοῦ Χριστοῦ ἱερεὺς ἀπεκρίνατο, τοῦτο τῆς ἐντολῆς Χριστοῦ κελευούσης· ἐπεὶ οὐκ ἐν πλούτῳ καὶ ὑπερηφανίᾳ εὐδόκησεν ὁ Θεὸς ἡμῶν ὁδὸν ἀνθρώπου κατευθύνεσθαι· διὰ τοῦτο καὶ πολλάκις γοῦν ἑκόντες ἑαυτοὺς ταπεινοῦμεν, τὰ ὄντα πένησι προϊέμενοι, πλοῦτον ἀντιλαβεῖν αἰώνιον ἐκδεχόμενοι καὶ δόξαν τὴν οὐδέποτε διαπίπτουσαν. Σὺ δὲ ὁ ἐπὶ πλούτῳ προσκαίρῳ καὶ ματαίᾳ δόξῃ τὰ μεγάλα φυσῶν ὡς καπνὸς παρελεύσῃ καὶ ὡς χοῦς ὑπὸ πνεύματος ἐκφυσηθήσῃ. »

11. Ὁ μάγος· « Ὑμεῖς, εἶπεν, ὄκνῳ δουλούμενοι[1] ἀργίαν τε περὶ πλείονος ἔργου ποιούμενοι, περιέρχεσθε τὰς οἰκίας, προσαῖταί τινες ἄθλιοι[2] καὶ χερσὶ προσέχοντες ἀλλοτρίαις. Ἐφ' ᾧ δὲ ἐχρῆν ἐπαισχύνεσθαι, τούτῳ μᾶλλον ὑμεῖς ἐγκαυχᾶσθε· ὁ γὰρ πλοῦτος πᾶσιν ἀνθρώποις ἐπέραστός τε δεινῶς καὶ ἀξιοσπούδαστος· οὗ τίς ὑμῖν πιστεύσειε μὴ ἐρᾶν; » Ὁ μακάριος· « Ἐπειδή, φησίν, ἀργίαν ἡμῖν ὠνείδισας καὶ προσαίτας ἐκάλεσας, ἐρωτῶν μάνθανε παρὰ τῶν εἰδότων, ὡς, εἴγε πλοῦτον ἀθροῖσαι διὰ σπουδῆς ἡμῖν γέγονε, τοσοῦτον ἂν τῶν ἡμετέρων ἀπωνάμεθα χειρῶν, ὅσος οὐδὲ σοὶ σχεδὸν πρόσεστιν, ἀπὸ τῶν πενήτων αὐτὸν ἐρανιζομένῳ πόνους τε ἀλλοτρίους καλαμωμένῳ. Ἡμεῖς μὲν γὰρ ἰδίαις χερσὶ πονούμενοι, πορισμοῦ δικαίου κοινωνοῦμεν τοῖς δεομένοις· ὑμεῖς δὲ πλεονεξίᾳ προσκείμενοι οὐ μόνον οὐδ' ὁτιοῦν αὐτοὶ ἐργάζεσθε, ἀλλὰ προσαφαιρεῖσθε καὶ τὰ ἀλλότρια. Ὅτι δὲ καὶ[3] ἡμᾶς πλούτου ἔφης ἐρᾶν, τί τὸ προσὸν ἐκείνῳ κατανοήσαντες ἀγαθόν, προσδεδέσθαι ἂν αὐτῷ εἴχομεν. »

12. « Οὐχὶ δραπέτης ἐστὶν καὶ κομιδῇ ἄπιστος; Οὐχὶ τούτῳ μὲν πρόσεστι νῦν, αὔριον δὲ πρὸς ἄλλον μεταφοιτᾷ[1] τὸν πρὸ τοῦ δεσπότην ὥσπερ ἐξαρνησάμενος; οὐχὶ φθόνον πολὺν ἀνάπτει κατὰ τοῦ κεκτημένου[2]; Οὐ πόνων οὗτος καὶ πολέμων δημιουργὸς ἄντικρυς; Οὐχὶ λῃστῶν καὶ κλεπτῶν ἐφέλκεται ὀφθαλμούς; Εἰ δὲ τὴν ἐκ τούτου φῂς ἡδονὴν ἢ μέγα τὴν δόξαν λογίζῃ, τί τῶν ὀνείρων αὕτη διαφέρει καὶ τῶν σκιῶν; Ὀλίγον εὔφρανεν, εἶθ' ἑσπέρας καταλαβούσης ἀπέσβη καὶ πρὸς τὸ μὴ ὂν ᾤχετο. Εἰ δὲ καὶ μικρόν τι τῷ παρόντι βίῳ συμπαραμείνοι, ἀλλ' ὁ θάνατος ἤδη καταλαβὼν καὶ αὐτὴν ἔχει συναπιοῦσαν, πικραὶ δὲ κολάσεις τὸν ἐνταῦθα ταῖς ἡδοναῖς ἐφέντα διὰ παντὸς ἕξουσιν. »

13. Οὕτω[1] λεγομένων, ἐγκόψας ὁ μάγος· « Ἐάσας τοὺς μακροὺς λήρους, φησίν, τῷ μεγίστῳ θεῷ ἡλίῳ καὶ τῷ φανοτάτῳ πυρὶ τὴν προσκύνησιν ὡς θέμις ἀπόδος[2]. » Πρὸς ταῦτα· « Μὴ πλανῶ, εἶπεν ὁ προσκυ-

9. — 1. X, Y, Βηθλαβουβᾶ T, Βηθλαθουβᾶ Z. — 2. ἑβδομήκοντα τούτοις T. — 3. ἔπρεπε T. — 4. *om.* Z. — 5. (καὶ-συνείχετο) *om.* T, X. — 6. Βηθροαδαρᾶ T, Βηθροαδαρά X, Βηθνοαδαρᾶ Y, Z. — 7 τὴν T.
10. — 1. δυσθανατώτατον Y, Z. — 2. (καὶ τοῖς-καταγοητεύοντες) *om.* T.
11. — 1. δουλοῦμεν X. — 2. ἄθ//// Z. — 3. *om.* T.
12. — 1. μετ' φοιτᾶ T. — 2. (οὐχὶ-κεκτημένου) *om.* Y, Z.
13. — 1. τούτων (*altera manu*) οὕτω Z. — 2. ἀπόδους T.

νητής τοῦ Χριστοῦ, μηδὲ τοῦτο οἴου θεάσασθαί ποτε τοῖς σοῖς ὀφθαλμοῖς, καταλιπόντα με τὸν ποιητὴν ἡλίου καὶ τοῦ πυρὸς τοῖς ἐκείνου ποιήμασι προσκυνῆσαι, τοῖς τε λόγοις καὶ τῇ ἐμαυτοῦ διδαχῇ ἀπεναντίας οὕτω γινόμενον. »

14. Ὁ δὲ πολὺς τὴν ὠμότητα μάγος, ἐπεὶ τούτων ἤκουσε τῶν ῥημάτων, διακαυθεὶς τῷ θυμῷ κελεύει παραχρῆμα διαταθέντα ῥάβδοις ῥοῶν θαμινοῖς ὄζοις ἠκανθωμέναις[1] αὐτὸν μαστίζεσθαι.

15. Ὡς δὲ τὰς ἱερὰς ἐκείνας σάρκας οἱ τῆς ἀπωλείας υἱοὶ κατέξαινον· « Εὐχαριστῶ σοι, εἶπεν ὁ ἀθλητὴς εἰς οὐρανὸν ἀνατείνας τοὺς ὀφθαλμούς, ὅτι με τῷ ἐμῷ κατηξίωσας αἵματι βαπτισθέντα τὸν τῆς ἁμαρτίας ῥύπον καθαρῶς ἀπολούσασθαι. » Οἱ δὲ δήμιοι ἐφ' οἷς εἰρήκει ὀργῆς μᾶλλον ἐπ' αὐτῷ[1] πληρωθέντες οὕτω κατέκοψαν ταῖς πληγαῖς, ὡς ἐγκοπῆναι[2] τούτῳ καὶ τὴν φωνήν. Εἶτα δυσὶ περιβαλόντες ἁλύσεσι τῷ[3] δεσμωτηρίῳ ἐγκατακλείουσι[4] καλὸν αὐτῷ καὶ ἄκοντες παραμύθιον τὸν θεῖον δεδωκότες Ἀκεψιμᾶν· ἐκεῖ γὰρ ἔτυχε προκατακλεισθείς.

16. Πρὸς δὲ τὸν τιμιώτατον ἀποβλέψας Ἀειθαλᾶν, ὁ τὴν ψυχὴν ἀμείλικτος δικαστής· « Σὺ τί λέγεις; ἔφη· πληροῖς τὸ τοῦ βασιλέως πρόσταγμα καὶ προσκυνεῖς τῷ μεγίστῳ ἡλίῳ ἀπογεύῃ[1] τε αἵματος καὶ[2] γυναικὶ ὁμιλεῖς καὶ ῥύῃ τῶν ἐπηρτημένων σοι ἀναγκῶν, ἢ καὶ αὐτὸς ἀπειθεῖς τοῖς ἄλλοις ὁμοίως; » Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς[3] Ἀειθαλᾶς, τὸ τῆς εὐσεβείας ὄντως ἀειθαλὲς φυτὸν καὶ οὐράνιον· « Ἔργον τοῦτο, ἔφη, τῆς σῆς ἀκαθάρτου καὶ κυνώδους[4] ὀρέξεως, τὸ αἱμάτων ἀπογεύεσθαι καὶ ἀντὶ τοῦ[5] Θεοῦ τὰ τοῦ Θεοῦ σέβεσθαι. Ἐμοὶ δὲ μὴ γένοιτο χαλεπῶς οὕτω τυφλώττειν καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμούς, ὡς ὁρῶντι τόνδε τὸν ἥλιον μέχρις αὐτοῦ στῆναι καὶ Θεὸν ἁπλῶς ἡγήσασθαι τὸ φαινόμενον καὶ μὴ προσωτέρω χωρῆσαι διανοίας ὀφθαλμῷ τρανοτέρῳ καὶ Θεὸν μὲν τὸ κινοῦν, κτίσμα δὲ λογίσασθαι τὸ κινούμενον. Εἰ δέ μοι οὕτω κρίσεως ἔχοντι καὶ πληγὰς καὶ θάνατον ἀπειλεῖς, οὐ παρὰ τοῦτό με πείσεις τὸ σὸν δόγμα μεταμαθεῖν καὶ τὴν εὐσέβειαν ἀπαρνήσασθαι. »

17. Ὀργισθεὶς[1] ἐπὶ τούτοις ὁ δυσσεβής· « Ἀλλ' οὐδεὶς ἀνθρώπων εὖ φρονῶν, ἔφη, θάνατον ἂν πρὸ τῆς ζωῆς ἕλοιτο, καὶ ταῦτα ματαίας χάριν καὶ οὐ λελογισμένης[2] ἐνστάσεως· ὅθεν οὐδὲ πιστευτέον σοι λέγοντι προθύμως ἔχειν ὑπὲρ τοῦ δόγματός σου καὶ τῆς θρησκείας ἀποθανεῖν. » Ὁ ἅγιος ἀπεκρίνατο· « Οἱ καθ' ὑμᾶς ἐπὶ κεναῖς αἰωρούμενοι ταῖς ἐλπίσι καὶ μή τινα προσδοκίαν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἔχοντες[3] ἀτελευτήτου ζωῆς, εἰκότως ἂν καὶ φιλοζωεῖν οὗτοι[4] καὶ φιλοσωματεῖν νομίζοιντο. Οἷς δὲ ἀληθεῖς ἐλπίδες καὶ βέβαιοι τὴν ψυχὴν ὑποτρέφουσιν, ὡς αὐτή τε ἀθάνατος εἴη καὶ τῷ ἰδίῳ πάλιν σώματι συνελθοῦσα μετὰ τὴν τοῦ θανάτου διάλυσιν αἰωνίου μέλλοι ζωῆς κοινωνεῖν, τούτοις ἄρα καὶ ἡ παροῦσα ζωὴ χρῆμα σμικρὸν[5] καὶ εὐκαταφρόνητον καὶ ὁ θάνατος ἥκιστα φοβερός. Ἀψευδὴς γὰρ ὁ ἡμέτερος Θεὸς καὶ διδάσκαλος· Μὴ φοβηθῆτε, λέγων, ἀπὸ τῶν ἀποκτεινόντων[6] τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων. »

18. Τότε κελεύει ὁ θηριώδης ἐκεῖνος τὰς μὲν χεῖρας αὐτοῦ ταῖς ἰγνύαις προσδεθῆναι ξύλον τε μακρὸν μέσον ἀμφοτέρωθεν[1] διελαθῆναι, ἓξ δὲ ἄνδρας[2] ἐξ ἑκατέρων ἄκρων τοῦ ξύλου ἐπιβεβηκότας ἀτεχνῶς ἰσχυροὺς ἐρρωμένως πιέζειν, τοῖς ἐπίτηδες ἅλμασι τὸ ἱερὸν ἐκεῖνο σῶμα καὶ τὰ ὀστᾶ συνθλῶντας καὶ διαλύοντας, ἐπὶ τούτοις καὶ ῥάβδοις ῥοῶν ἀνηλεῶς αὐτὸν τύπτεσθαι. Ὁ δὲ ἀδάμας ἀθλητὴς ἐκεῖνος καὶ τὸ φρόνημα ὑπ' οὐδενὸς ταπεινούμενος ὥσπερ ἀπόνως καὶ ἀναλγήτως πρὸς βασάνου τοιαύτην ὑπερβολὴν διακείμενος, εὐγενές τι καὶ μεγαλόφρον[3] πρὸς τὸν δικαστὴν ἀποβλέψας· « Ὡς ἔοικεν[6], ἡδονήν σοί τινα τὰ τῶν ἀνθρώπων, ἔφη[5], σώματα διασπαρασσόμενα ἐμποιεῖ, τὸν κυνῶν ἢ κοράκων τρόπον ἐμπίπλασθαι τούτων ἐφιεμένῳ[7]. Γνῶθι τοιγαροῦν σαφῶς, ὡς οὐδείς μοι λόγος τῶν παρὰ σοῦ τούτων ἐπαγομένων βασάνων. Ἢ τοίνυν καινοτέρας ἐπινόει, ἢ ταύτας ἴσθι τὸ μηδέν μοι λογιζομένας. »

19. Ὁ δὲ μάγος αὐτίκα πρὸς τοὺς δημίους ἐπιστραφείς· « Ἵνα τί πρὸς ἔλεον, ἔφη, μαστίζετε τὸν

14. — 1. *om.* Z.

15. — 1. ἐπὶ αὐτῷ T. — 2. X, Y, Z. ἐκκοπῆναι T. — 3. *om.* T. — 4. κατακλείουσι T.

16. — 1. ἀπογεύσει T. — 2. *om.* X. — 3. μαθητὴς X. — 4. κτηνώδους (κτη *in rasura*) X. — 5. *om.* Y.

17. — 1. οὖν *add.* Z. — 2. λεγομένης T. — 3. ἔχοντας T. — 4. οὕτω Y, Z. — 5. μικρὸν X. — 6. ἀποκτενόντων *in ras.* Y.

18. — 1. ἀμφοτέρων X. — 2. ἄνδρες X. — 3. μεγαλόφρονι ψυχῇ X. — 5. ἔφη *add.* Z. — 6. *om.* Y, Z. — 7. ἐφιεμένωι *corr.* Z, *prius* ἐφιεμένων.

ἀνόσιον; ὁρᾶτε γάρ, ὅπως φειδοῦς ἀξιούμενος πρὸς τὰς καθ' ἡμῶν ὕβρεις κατὰ πολλὴν χωρεῖ τὴν ἐλευθερίαν. » Οἱ δέ, ὥσπερ τινὶ κέντρῳ τῷ λόγῳ διαναστάντες, οὕτως ἐπέθεντο κραταιῶς, ὡς ἐκ τῆς τῶν ἐπιβεβηκότων τῷ ξύλῳ βαρύτητος καὶ τῆς τῶν τεινόντων σφοδρότητος τῆς ὠμότητός τε[1] τῶν μαστιζόντων τέλεον παρεθῆναι μὲν αὐτῷ τὰς ἁρμονίας τοῦ σώματος, συνθλασθῆναι δὲ τὰ ὀστᾶ καὶ τὰς σάρκας καταξανθῆναι. Διαβαστάσαντες οὖν αὐτόν, ἐπεὶ μὴ χρῆσθαι τοῖς ποσὶν ἠδύνατο, ὥσπερ τι φορτίον τῇ φυλακῇ προσρίπτουσιν, ἔνθα δὴ καὶ ἡ τῶν ἁγίων δυὰς κατάκλειστος ἦν.

20. Πέντε διῆλθον ἡμέραι, καὶ τούτους τοῦ δεσμωτηρίου ἐξαγαγόντες εἰς τόπον, ὃς ἐκαλεῖτο Παράδεισος, ἄγουσιν, οὗ δὴ καὶ πλησίον ναὸς ἐτύγχανεν ὢν τοῦ παρ' αὐτῶν σεβομένου πυρός· ἐν ᾧ προκαθίσας ὁ μιαρός· « Εἴπατέ μοι τὸ τάχος, πρὸς τοὺς ἁγίους, φησίν, ἔτι τῷ αὐτῷ τῆς ἀνοίας ἐπιμένετε λογισμῷ ἤ τι κρεῖττον ὑμῖν μεταβεβούλευται καὶ[1] σωτήριον; » Οἱ ἅγιοι ὡς ἐξ ἑνὸς στόματος εὐθὺς ἀπεκρίναντο· « Γνωστὸν ἔστω σοι, δικαστά, ὅτι ὃν ἐξ ἀρχῆς λογισμὸν ἔσχομεν[2], τούτῳ καὶ εἰσέτι στοιχοῦντές ἐσμεν καὶ μέχρι[3] τέλους[3] τὸν αὐτὸν ἕξομεν, οὐκ ἀπειλαῖς, οὐ βασάνοις, οὐ δωρεαῖς, οὐδενὶ ἄλλῳ τὸ παράπαν μετατιθέμενον[4]· ἀλλ' ἕνα[5] Θεὸν προσκυνοῦμεν καὶ αὐτὸν μόνον κύριον εἶναι τῶν ὄντων πάντων ἐγνώκαμεν. »

21. Τούτων ἀκούσας ὁ μάγος, βασάνου[1] πάλιν ἑτέραν[2] ἐπενόει καινοτομίαν καὶ κελεύει σχοινίοις αὐτοὺς διά τε τῶν μασχαλῶν καὶ τῆς ὀσφύος καὶ τῶν κνημῶν περιζῶσαι, καθ' ἕκαστον δὲ ζωστῆρα ξύλον ἐμβάλλεσθαι καὶ περιδινεῖσθαι, καὶ τῷ σχοινίῳ στερρῶς στρεβλοῦσθαι[3]· οὗ γενομένου θέαμα χαλεπὸν ἦν καὶ ὀφθαλμοῖς ἡμέροις[4] δακρύων ἄξιον. Τὰ μὲν γὰρ ξύλα περιειλεῖτο, αἱ σχοῖνοι[5] δὲ συνεστρέφοντο, κἀντεῦθεν σάρκες τε ἐπιέζοντο καὶ ὀστᾶ συνετρίβοντο[6] καὶ ἡ συντριβὴ μάλα δεινή. Καὶ γὰρ καὶ[7] τοῖς πόρρω διεστηκόσι ψόφος οἷος ἐκ τῶν ὀστῶν ἠκούετο. Ἦν δὲ τὸ τῇ βασάνῳ ἐπιλεγόμενον· « Τῷ θελήματι τοῦ βασιλέως μὴ ἀντιτάσσεσθε[8]. » Εἶτα τὸ πρὸς τῶν ἁγίων ἀντιφθεγγόμενον· « Οἱ τῷ τοῦ βασιλέως ὑμῶν θελήματι καθυπείκοντες τῷ τοῦ Θεοῦ θελήματι ἀντιλέγουσι. »

22. Τρίτη μὲν οὖν ὥρα ἦν, ὅτε ἡ βάσανος ἤρχετο· μέχρι δὲ καὶ ἕκτης, οὕτω πασχόντων τῶν ἀθλητῶν, παρετείνετο. Ἀπαγορεύσας[1] οὖν μᾶλλον ὁ δικαστὴς[2] εἰς τὸ δεσμωτήριον αὐτοὺς πάλιν ἐκέλευσεν ἀπαχθῆναι. Διὸ[3] δὴ καὶ ἀπήχθησαν οὐ ποσὶν οἰκείοις, ἀλλ' ὑφ' ἑτέρων αὐτοὶ διαβασταζόμενοι τῷ παντάπασιν νενεκρῶσθαι[4]. Παρήγγελτο δὲ τοῖς φυλάττουσιν, ὡς, εἰ φωραθείη τις τροφῆς αὐτοῖς κοινωνῶν ἢ ποτοῦ ἢ ἐνδύματος, ἐσχάταις ὑποβάλλεσθαι[5] τιμωρίαις.

23. Εἰς ταύτην οὖν τὴν εἱρκτὴν οἱ τοῦ Χριστοῦ στρατιῶται, πᾶσαν[1] κάκωσιν δι' αὐτὸν ὑπομένοντες, ἐπὶ τρισὶ χρόνοις ἐγκεκλεισμένοι διέμειναν, οὐδεμίαν ἢ τοῦ λιμοῦ λύσιν ἢ τῶν ἐν τῇ[2] φυλακῇ κακῶν παραμυθίαν εὑρίσκοντες, εἰ μή τινες τῶν συνδεσμωτῶν κατοικτείραντες βραχύ τι τροφῆς κατὰ τὸ λεληθὸς αὐτοῖς ὤρεξαν. Οἱ γὰρ τῇ εἱρκτῇ προσκαθήμενοι φύλακες ἠλέουν μὲν αὐτοὺς τῶν συμφορῶν καὶ τοῦ γήρως[3], οὐδὲν δὲ τῶν εἰς θεραπείαν δρᾶσαι διὰ τὸν τοῦ δικαστοῦ φόβον δυνάμενοι συνήλγουν αὐτοῖς μόνον καὶ τὸ τῆς συμπαθείας προσέφερον δάκρυον.

24. Εἶτα μετὰ τὴν πικρὰν[1] ἐκείνην καὶ πολυχρόνιον κάκωσιν Σαβωρίου κατὰ τὸν αὐτόθι τόπον γενομένου — Βιθμαδᾶ[2] οὗτος ἐλέγετο — ἐξάγει τῆς φυλακῆς ὁ κολάζειν αὐτοὺς πιστευθείς. Εἶπες ἂν ἰδὼν ἐκείνους ἐοικέναι σκιᾷ· οὕτως[3] ἦσαν ὑπὸ τῆς μακρᾶς κακοπαθείας ἐκτετηκότες. Εἶτα τῷ[4] τοῦ Ἀρδασαβὼρ παρίστησι βήματι· ἄρχων δὲ οὗτος πάντων τῶν ἐν Περσίδι μάγων ἐτύγχανεν ὤν. Καὶ ὃς εὐθὺς πρὸς αὐτούς· « Τί δαί, χριστιανοί ἐστε; » Καὶ οἱ ἅγιοι· « Ναί[5], εἶπον, χριστιανοὶ καὶ τῷ μόνῳ ζῶντι Θεῷ προσκυνοῦντες καὶ αὐτῷ μόνῳ λατρεύοντες. »

25. Καὶ ὁ τύραννος· « Ὁρᾷς, εἶπεν, ὅπως αἱ ἐπενεχθεῖσαι[1] βάσανοι πολλὴν ὑμῖν τὴν ταλαιπωρίαν

19. — 1. *om.* X.

20. — 1. *om.* Y. — 2. εἴχομεν X. — 3. *om.* X. — 4. μετατιθέμενοι Z. — 5. (ἀλλ' ἕνα) ἕνα γὰρ T.

21. — 1. *corr. prius* βασάνον Z. — 2. ἑτέρας X, ἑτέρων Z. — 3. συστρεβλοῦσθαι X, Z. — 4. ἡμετέροις Y. — 5. σχοῖναι Y. — 6. **καὶ ὀ.** συνετρίβοντο *om.* X. — 7. *om.* T. — 8. ἀντιτάσσεσθαι X, Y, Z *prima manu corr.* ἀντιτάσσεσθε.

22. — 1. ἀπαγοράσας *corr.* T. — 2. καὶ *add.* X. — 3. ὁ δικαστὴς εἰς τόδε *rubrica in margine* Y. — 4. ἐνεκρῶσθαι T, ἐκνενεκρῶσθαι X. — 5. ὑποβληθήσεται T.

23. — 1. θλῖψιν πᾶσαν *add.* Y. — 2. *om.* Y. — 3. γήρους X, Y.

24. — 1. μακρὰν Y. — 2. Βιθμαδὰ δὲ X. — 3. σκιαν οὗτος Y. — 4. τῷ *in marg prima manu* Z. — 5. καὶ Y.

25. — 1. ἐνεχθεῖσαι T.

ἐμπεποιήκασιν, ἐπὶ πλέον δέ, οἶμαι, καὶ ἡ χρονία κάκωσίς τε καὶ κάθειρξις. Αὕτη γὰρ τάς τε μορφὰς ὑμῖν[2] ἠλλοίωσε καὶ δεινὴν οὕτω τὴν σύντηξιν ἐνειργάσατο· διὸ καὶ συμβουλεύσαιμι ἂν ὑμῖν πεισθῆναί μοι τὰ λυσιτελοῦντα εἰσηγουμένῳ καὶ φείσασθαι ἑαυτῶν, ἡλίῳ τε τῷ φαεινῷ προσκυνῆσαι· εἰ δ' οὖν, τὸ λειπόμενόν ἐστι θανάτῳ ὑμᾶς ὑπαχθῆναι χαλεπωτάτῳ. »

26. Ὁ ἅγιος Ἀκεψιμᾶς ἀπεκρίνατο· « Οὔ με διέλαθεν, ὡς ὑπερβάλλουσά σοι σπουδὴ περὶ τὸ πάτριον δόγμα καὶ τοῦτο πρόθεσις, εἴπερ ἄρα καὶ δυνατὸν ἦν, ἢ βίᾳ ἢ πειθοῖ σοι κατορθωθῆναι τὸ πάντας πρὸς τὴν αὐτὴν ἑλκύσαι θρησκείαν. Τοῦτο δὲ περὶ ἡμῶν[1] μηδὲ εἰς νοῦν ἀναβήτω σοι, ὡς ἢ θωπείαις ἢ ἀπειλαῖς ἢ κακῶν ἄλλαις ἐπιφοραῖς μεταπείσεις ἡμᾶς ἀποστῆναι τοῦ ἅπαξ βεβαιωθέντος ἡμῖν δόγματος καὶ τῆς ὁμολογίας. Ἑτοίμως γὰρ ἔχομεν πάντα παθεῖν μᾶλλον ἢ τῆς πρὸς Χριστὸν[2] ἀποστῆναι πίστεως. »

27. « Οὐκ ἀγνοῶ, ἔφη ὁ τύραννος, ὡς παρ' ὑμῖν τοῖς χριστιανοῖς, εἰς ἀνάπαυσιν εἶναι τοῦ θανάτου νομιζομένου, σπουδὴ πᾶσα πρὸς τοῦτον[1] διὰ τὴν τῶν ἐλπιζομένων ἀπόλαυσιν· ἀλλ' οὐκ ἐξέσται ὑμῖν εἰς τάχος[2] τοῦ ποθουμένου μεταλαχεῖν· πρότερον γὰρ ὑμῶν κατὰ βραχὺ τὰς σάρκας ἐκδαπανήσας, οὕτω πικρὸν ὑμῖν τὸ τέλος τῆς ζωῆς ἐπιθήσω. » Καὶ ὁ ἅγιος· « Ἤδη παρ'[3] ἡμῶν καὶ πρότερον ἤκουσας καὶ νῦν μάνθανε περὶ τούτου βεβαίως, ὡς οὔτε τῶν σῶν[4] βασάνων οὔτε τῶν ἀπειλῶν λόγος ἡμῖν τὸ παράπαν οὐδ' ὁ τυχών. Ὁ γὰρ ἐν τοῖς προλαβοῦσι δεινοῖς χεῖρα βοηθὸν παρασχόμενος, αὐτὸς καὶ νῦν ἐπικουρῶν ἔσται καὶ ἀπόνως φέρειν παρασκευάζων τὰ ἐπαγόμενα. Καὶ εἰ βούλει πεῖραν λαβεῖν τῆς ἐν τῷ βαθεῖ γήρᾳ καρτερίας ἡμῶν, οὐδὲν τὸ κωλύον· εἴσῃ γὰρ ἐπὶ ματαίῳ πονούμενος καὶ ἀνηνύτοις[5] ἐπιχειρῶν. »

28. Θυμοῦ πληρωθεὶς ἐν τούτοις ὁ δικαστὴς μάστιγας κελεύει βύρσης ὠμῆς ἐνεχθῆναι, τεθῆναί τε κατὰ πρόσωπον· εἶτα πρὸς τοὺς ἁγίους· « Αὐτὸν ὄμνυμι τὸν μέγαν, ἔφη, θεὸν καὶ τὴν εὐκλεᾶ τύχην Σαβωρίου[1], εἰ μὴ τῷ αὐτοῦ πεισθῆτε προστάγματι, τούτοις ὑμῶν ἀναλώσω τὰς σάρκας, οὐδένα οἶκτον ποιούμενος. Εἰ δὲ καὶ τάχιον ὑμῖν γένηται μαστιζομένοις ἀποθανεῖν, ἀλλ' ἐγὼ καὶ οὕτως αἰκίσομαι τοὺς νεκρούς, καὶ κατὰ μέλος[2] διατεμὼν ὀρνέοις τε καὶ κυσὶν ἐπιρρίψω. » Ὁ ἅγιος εἶπεν Ἀκεψιμᾶς· « Εἰς κτίσμα ὀμόσαντί σοι καὶ οὐ Θεόν, ἀλλὰ καὶ τύχην ἀνθρώπου, δέδοικα, μήπως οὐ μελήσει περὶ τῶν ὅρκων οὐδ' ἀπαράβατα φυλαχθήσονται τὰ ὀμωμοσμένα. Εἰ δ' ἀσφαλῶς ἔχεις[3] ταῦτα καὶ βεβαίως, ἰδού σοι τὰ ἡμῶν σώματα, χρῶ[4] κατὰ γνώμην, μηδένα οἶκτον ἡμῶν[4], ὡς ἔφης, μηδὲ φειδὼ[5] ποιούμενος. »

29. Οὕτως εἰπόντος, ὁ μιαρὸς ἐκέλευε[1] δικαστὴς τὰς[2] χεῖρας διαταθέντα κατά τε νώτων καὶ στέρνων ἰσχυρῶς τύπτεσθαι. Εἰς τοῦτο δὲ προῆλθον ὠμότητος οἱ μαστίζοντες, ὡς ἐνδοῦναι μηδ' ὅλως, ἕως αἱ σάρκες ἀποσπώμεναι τῶν ὀστέων εἰς γῆν τῷ αἵματι συγκατέρρεον. Ὁ δὲ κῆρυξ ἐβόα· « Πείσθητι τῷ τοῦ βασιλέως θελήματι, καὶ ζῆθι. » Τῷ δὲ τοῦ Θεοῦ ἀρχιερεῖ ἕως μὲν ἰσχὺς ἦν, ἀντεβόα· « Ἐγὼ[3] τὸ τοῦ ἐμοῦ Θεοῦ θέλημα μᾶλλον αὐτῷ δυναμούμενος τελειώσω· τοῦ δὲ βασιλέως ὑμῶν οὐδ' ἄκροις ὠσὶ παραδέχομαι. » Ἐπεὶ δὲ τά τε τῆς φωνῆς αὐτῷ διεκόπτετο καὶ τὰ τῆς δυνάμεως ἤδη κατὰ βραχὺ διελύετο ὁ θάνατός τε ὅσον οὔπω παρῆν, τὸ ὄμμα ὑψοῦ διάρας καὶ τὴν εἰς Θεὸν ὁμολογίαν διὰ τῆς πρὸς αὐτὸν ἀνανεύσεως ἀπαράτρεπτον σώζειν βεβαιωσάμενος, ἐν αὐτῇ τῇ τῶν δεινῶν καρτερίᾳ τὴν ἀήττητον ἐκείνην ψυχὴν τῷ ἀγωνοθέτῃ Θεῷ παρέθετο.

30. Ἔτι δὲ θυμοῦ πνέοντες οἱ πικροὶ κολασταὶ καὶ νεκρὸν ἤδη τὸ σῶμα νόμῳ τῷ τῶν κοράκων ᾐκίζοντο. Εἶτα ὠθήσαντες ἐπὶ κεφαλὴν καὶ κατὰ τὴν πλατεῖαν ὥς τι τῶν βεβήλων οἱ μιαροὶ ῥίψαντες, φύλακας ἐφιστῶσι τοῦ μηδὲ ταφῆς ὑπό του τῶν φιλοχρίστων ἀξιωθῆναι, δαιμόνων ἰσχυρότατον δέος ἐκτρῖψαι φιλονεικοῦντες οἱ ἐκείνων ὄντες[1] θεραπευταὶ προθυμότατοι. Τρισὶ δὲ ὕστερον ἡμέραις τῶν φυλάκων ἀσχολουμένων ἐπὶ τῇ παρουσίᾳ τῆς θυγατρὸς τοῦ τῶν Ἀρμενίων φημὶ βασι-

2. ὑμῶν Y.
26. — 1. ὑμῶν Y. — 2. τῆς τοῦ Χριστοῦ X.
27. — 1. τοῦτο Y, Z. — 2. τάχους Y. — 3. γὰρ Y. — 4. *om.* Y. — 5. ἀνονήτοις X, Z *prima manu*.
28. — 1. (καὶ-Σαβωρίου) *om.* X. — 2. μέρος Y. — 3. ἔχει *corr.* Z. — 4. *om.* X. — 5. μηδ' ἀφειδῶ X.
29. — 1. ἐκέλευσε X. — 2. μὲν *add.* X. — 3. μὲν *add.* X.
30. — 1. ὄντως X, Y.

λέως, ἥτις εἰς[2] εἰρήνης ὅμηρον τῷ τῆς Περσίδος τότε βασιλεύοντι παρεσχέθη, παρὰ χριστιανῶν κλέπτεται[3], θησαυρὸς ὄντως οὐδέποτε δαπανώμενος.

31. Οὕτως οὖν τοῦ μακαρίου Ἀκεψιμᾶ, δεκάτην ἄγοντος τοῦ ὀκτωβρίου[1], τρόπον ὃν εἴρηται τὸ πέρας τῆς ζωῆς δεξαμένου, ὁ ἱερώτατος Ἰωσὴφ μετ' αὐτὸν εἰσήγετο· ᾧ προσσχὼν ὁ βέβηλος δικαστής· « Ἑώρακας, εἶπε, τὸν ἑταῖρον τὸν σόν, οἵῳ πικρῷ τέλει τοῦ ζῆν ἀπηλλάγη. Καὶ σὺ τοίνυν, εἰ μὴ τοῖς ἐμοῖς λόγοις πεισθῇς, ταῖς ὁμοίαις ὑποβληθεὶς κολάσεσι τὸν αὐτὸν[2] ἐκείνῳ θάνατον ὑποστήσῃ. » Ὁ δὲ τοῦ Θεοῦ θεῖος ἱερεύς· « Ὃ καὶ πρότερον, ἔφη, τῷ πρὸ σοῦ κρῖναι λαχόντι τὰ ἡμέτερα εἴρηκα, τοῦτο καὶ πρὸς σὲ νῦν ἐρῶ, ὡς οὔποτε κτίσμα προτιμήσομαι τοῦ δημιουργοῦ οὐδὲ προσκυνήσω κτίσει παρὰ τὸν κτίσαντα, ἕως δὴ τοῦ ἐμοῦ κύριός εἰμι λογισμοῦ. » Πολλῇ πρὸς ταῦτα ὁ ἄρχων τῇ λύσσῃ καταληφθείς, ἐκέλευσε καὶ αὐτὸν ὁμοίως τῷ προλαβόντι διατεθέντα[3] ταῖς βοείαις μαστίζεσθαι, κήρυκά τε ἐπιφωνεῖν, τὸ τοῦ βασιλέως ποιοῦντα θέλημα σῴζεσθαι. »

32. Ὁ δέ· « Εἷς ἐστιν Θεός, ἀνεβόα, καὶ πλὴν αὐτοῦ οὐδαμῶς ἕτερος, ᾧ καὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμεν, ᾧ καὶ τὴν λογικὴν λατρείαν προσάγομεν, βραχέα τῶν βασιλικῶν φροντίζοντες προσταγμάτων. » Ὡς δὲ ἐπὶ[1] πολλαῖς ταῖς ὥραις τυπτόμενος σχεδὸν ἤδη καὶ νενέκρωτο, νομίσαντες αὐτὸν τεθνάναι, ἐπὶ τῆς ἀγορᾶς ἄραντες ἔρριψαν. Εἶτα μαθόντες ἔτι λείψανόν τι πνεύματος αὐτῷ παραμένειν, ἐπὶ τὴν εἱρκτὴν[2] κατακλείουσι.

33. Μετὰ δὲ τοῦτον τρίτος Ἀειθαλᾶς ὁ σοφὸς εἰσήγετο, πρὸς ὃν ὁ δικάζων· « Καὶ[1] ζωῆς, ἔφη, καὶ θανάτου προκειμένων ἐν ὀφθαλμοῖς σου δόξης τε καὶ ἀτιμίας, μὴ τὸ χεῖρον ἕλῃ, τὸ κρεῖττον καταλιπών, μηδὲ[2] αὐτὴν βαδίσαι[3] τοῖς προλαβοῦσιν, οἳ τῆς ἑαυτῶν ἀφροσύνης ἄξιον ἀπηνέγκαντο καὶ τὸ τέλος. Σὺ δὲ ἀλλὰ τῇ ἐμῇ πειθόμενος συμβουλῇ, τιμῶν τε μεγίστων ἀξιωθήσῃ καὶ βασιλικῶν οἵων ἐπιτεύξῃ τῶν δωρεῶν. Εἰ δ' οὖν, μυρίων σεαυτῷ γενόμενος τιμωριῶν αἴτιος[4], εἶτα καὶ[5] τοῦ ποθεινοῦ πᾶσι φωτὸς βιαιότατα στερηθήσῃ. » Ὁ δέ γε θεῖος Ἀειθαλᾶς· « Αἰσχυναίμην ἄν, ἔφη, τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ τῶν ἐμῶν ἑταίρων, καὶ γήρᾳ τρυχομένων καὶ ἡλικίᾳ προβεβηκότων, ἔπειτα καρτερώτατα διηγωνισμένων, αὐτὸς φιλοζωῶν καὶ ὑποπτήσσων σου τὰς βασάνους ὀφθείην, τὴν ἡλικίαν ἔχων ἀκμαιοτέραν. Οὐ μὰ τὸν τοῦ ἐμοῦ Χριστοῦ θάνατον, οὐ φιλοψυχήσω, οὐ προδώσω τῶν δοκούντων ἀγαθῶν, οὐ τῶν χαλεπῶν, τὴν[6] εὐσέβειαν. »

34. Θυμὸς τὸ ἐπὶ τούτοις πολὺς τοῦ ἄρχοντος, μαστίγων ἐπιφοραὶ κατὰ τοῦ ἁγίου. Ὁ δὲ ῥυπαρὸν αὐτὸν ἀπεκάλει κύνα καὶ ἀγεννῆ καί· « Ὥσπερ ὁ νοῦς ὁ σός, ἔλεγε, σαθρός τε καὶ ἀσθενής, οὕτω δὴ καὶ αἱ βάσανοι μορμολύκεια ψυχῶν ἀθλίων[1] εἰσὶ καὶ ταπεινῶν, ἀλλ' οὐχ ἀνδρῶν γενναίων καὶ Χριστοῦ πόθῳ τὰς ψυχὰς ἐκπεπυρωμένων. »

35. Ἐκπλαγεὶς[1] ἐπὶ τούτοις ὁ φρενόληπτος δικαστής· « Τί τοῦτο; πρὸς τοὺς συνεδριάζοντας ἔφη· πῶς οἱ λεγόμενοι οὗτοι χριστιανοὶ τῆς παρούσης καταφρονοῦντες ζωῆς, ἐκτόπως οὕτω διψῶσι τὸν θάνατον; » Οἱ δέ· « Ὅτι πατροπαραδότοις, ἔφησαν, προσέχοντες διδαχαῖς, ἄλλον εἶναι κόσμον πιστεύουσι, τοῦ παρόντος κατὰ[2] πολὺ βελτίω τε καὶ θαυμασιώτερον, οὗ χάριν καὶ τῆς παρούσης ὑπερορῶσι ζωῆς. » Ἐν ὅσῳ δὲ ταῦτα ἐλέγετο, τῇ τε τῆς ὥρας παρατάσει καὶ ταῖς τῶν αἰκιζόντων αὐτὸν σφοδροτάταις ἐπιφοραῖς αἱ μὲν τοῦ πολυάθλου σώματος ἁρμονίαι διελύοντο, αἱ σάρκες δὲ ξεόμεναι αὐτῷ αἵματι κατὰ γῆς ἔρρεον.

36. Ἐπὶ βραχὺ δὲ τοῦτον ἀνεθῆναι κελεύσας, ὥσπερ ἔλεον αὐτοῦ λαβὼν ὁ δικάζων· « Ἀλλ' εἰ βουληθείης, ἔφη, τῷ βασιλικῷ πεισθῆναι προστάγματι, εἰσὶ παρ' ἡμῖν ἰατροί, οἵ σου τὸ τάχος ἰάσονται τὰς πληγάς. » Πρὸς ὃν εὐθὺς ὁ μακάριος· « Εἰ λόγῳ μόνῳ τὰς ἐμὰς εἶχες ἰᾶσθαι πληγάς, ὦ τραυματία σὺ καὶ φρένας καὶ τὴν ψυχήν, οὐδ' οὕτως ἄν σοι προσέσχον, ἐφ' οἷς ἀνόητα παραινεῖς. » « Πειράζων

2. *om.* T. — 3. κλέπτεσθαι Y.

31. — 1. μηνὸς X. — 2. ἑαυτὸν T. — 3. διαταθέντα Y.

32. — 1. δ' ἐπὶ T, Y. — 2. τῇ εἱρκτῇ *corr.* Z.

33. — 1. *om.* Y. — 2. τὴν *add.* Y, Z. — 3. βαδίσῃς *corr.* Z. — 4. αἴτιος τιμωριῶν T. — 5. *om.* Z. — 6. *om.* X.

34. — 1. οὖσαι Y.

35. — 1. οὖν *add.* Y. — 2. τὸ *add.* Y.

εἴρηκα, φησὶν ὁ δικάζων, ἐπεὶ καὶ θελήσαντί σοι τάχα τῷ τοῦ βασιλέως εἶξαι προστάγματι οὐδὲν ἦν παρὰ τοῦτο πλέον, τῶν πληγῶν ἤδη τὸν θάνατόν σοι μνηστευομένων· ὅθεν ἔγωγε χριστιανοῖς πᾶσιν [1] ὑπόδειγμα γενέσθαι σε παρασκευάσω τοῦ μὴ ἀδεῶς οὕτω ταῖς κατὰ τῶν ἀρχόντων ὕβρεσι χρῆσθαι. »

37. « Ἀλλ' εἰ καὶ ἐν ἄλλοις, ὁ ἱερώτατος μάρτυς, ἀλλόκοτα [1] πολλάκις εἴρηκας καὶ [2] ψευδῆ, νῦν, ἔφη, καὶ μὴ βουλόμενος τὰ ἀληθῆ ἔλεξας καὶ ὃ πάντως οὐκ εἰς μακρὰν ἀποβήσεται· ὑπόδειγμα γάρ με τῷ ὄντι ἀγαθὸν καὶ τοῖς ἔπειτα θήσεις [3] καρτερίας καὶ γενναιότητος, οἳ καθάπερ εἰς ἀρχέτυπόν τι τὴν ἡμετέραν ἀφορῶντες ὑπομονήν, ῥᾳδίως σοῦ τε καὶ τῶν [4] ὁμοίως ἐχόντων τὰς βασάνους οἴσουσιν. » Ἔκπληξις ἐπὶ τοῖς ῥηθεῖσι κατέσχε τὸν δικαστήν, καὶ δή τινα τῶν παρ' αὐτῷ μέγα [5] δυναμένων προσκαλεσάμενος — ὃς Ἀδεσχεγὰρ [6] μὲν ἐλέγετο, ἐκ πόλεως δὲ ὥρμητο Ἀρβὴλ καλουμένης· — « Τούτους παραλαβών, ἔφη, πρὸς τὴν σὴν ἀπάγαγε πόλιν χριστιανῶν χερσὶ καταλευσθησομένους· τοῦτο γάρ μοι τὸ δικαστήριον [7] τὸ [8] σὸν καταπράξασθαι βούλομαι, δι' ἣν αἰτίαν οὐδὲ τὸν διὰ ξίφους αὐτοῖς ἐπενεγκεῖν ἠθέλησα θάνατον. »

38. Παραυτίκα γοῦν ἀχθοφόροις ζῴοις ὥσπερ τινὰ τῶν ἀψύχων ἐπιφορτίσας αὐτοὺς καὶ περιδεσμήσας, τὴν ἐπὶ τὴν πατρίδα ἐκεῖνος ἐστέλλετο, ἐπεὶ μὴ δυνατῶς εἶχον ἐγκαθῆσθαι τοῖς ζῴοις, ἐσχάτην ὑποστάντες τῶν μελῶν πάρεσιν· ὅθεν ἐρρίπτοντο κατὰ γῆς, ἐν οἷς ἔδει καταλύειν αὐτούς, οἷά τινα νεκρὰ σώματα. Καὶ δῆτα κατὰ τὴν πόλιν ἀχθέντας Ἀρβὴλ δεσμωτήριόν τι δέχεται τούτους [1] ζοφῶδες καὶ ἀλαμπές, ἐν ᾧ σήψεως τῶν σαρκῶν ἀπὸ τῶν πληγῶν αὐτοῖς ἐπιγενομένης ἰχὼρ τε πολὺς ἀπέρρει καὶ ὀδύναι [2] τῶν ἁγίων δριμύταται καθικνοῦντο, καὶ μάλιστα τῷ μὴ ἐφεῖσθαί τινι τῶν χριστιανῶν ὡς αὐτοὺς εἰσελθεῖν καὶ μικρᾶς γοῦν [3] τινος ἐπιμελείας αὐτοὺς ἀξιῶσαι.

39. Γυνὴ δέ τις [1] εὐσεβὴς καὶ φοβουμένη τὸν Κύριον ἐν τοῖς ὁρίοις τῆς αὐτῆς πόλεως παροικοῦσα, ἀωρὶ τῶν νυκτῶν ἀφίκετο πρὸς τὸ δεσμωτήριον καὶ χρήμασι ἱκανῶς [2] τοὺς φύλακας θεραπεύσασα κατεπράξατο ἑαυτῇ τὸ τοὺς ἁγίους οὕτω [3] λεληθότως ἀναλαβεῖν καὶ πρὸς τὸν ἑαυτῆς οἶκον οὐ μακρὰν ὄντα χερσὶ τῶν ἑαυτῆς θεραπόντων διαβασταζομένους ἀγαγεῖν. Εἶτα προθεῖσα [4] τούτους οὐδὲ φθέγξασθαι δυναμένους, ἐκμάσσει μὲν αὐτοῖς τὸν ἰχῶρα, ἠπίοις δέ τισι φαρμάκοις παραμυθεῖται τὰς ἀλγηδόνας, ὀθονίοις περιδεσμεῖ καθαροῖς [5], μύροις χρίει πολυτελέσι καὶ οὕτω διὰ πάντων τὸ θεραπευτικόν τε καὶ φιλόχριστον ἐπιδείκνυται, καταφιλοῦσα μὲν τὰ μαρτυρικὰ μέλη καὶ τούτοις ἐπιδακρύουσα, ἰχῶρι δὲ τῷ [6] ἐξ αὐτῶν ἀποστάζοντι ἑαυτὴν ὑπαλείφουσα.

40. Ὀψὲ δὲ καὶ μόλις ἀνενεγκὼν ὁ μακάριος Ἰωσήφ· « Τὸ μὲν περὶ ἡμᾶς σου συμπαθὲς καὶ φιλότιμον, ὦ ἱερώτατον, ἔφη, γύναιον, ἀπόδεκτον καὶ Θεῷ καὶ τοῖς ὑπὲρ αὐτοῦ ἀθλοῦσιν ἡμῖν· τὸ δὲ οὕτως ἡμᾶς δακρύειν ἀμέτρως πόρρω τῆς ἀψευδοῦς τῶν χριστιανῶν ἐλπίδος καὶ τῆς ἡμῶν πίστεως. » Πρὸς ὃν ἡ σεμνοτάτη γυναικῶν· « Ἐμοὶ μὲν χαρᾶς [1] ἡ ψυχὴ πληροῦται λογιζομένη, ὅπως τοσαύτην ὑμῖν ὁ Χριστὸς ἐνέθηκε τὴν ἀνδρίαν, ὥστε πρὸς τηλικαύτην ὀδυνῶν δριμύτητα διακαρτερῆσαι· ἥσθην δ' ἂν ἐπιπλέον καὶ εἰ τῷ μαρτυρίῳ τελειωθέντας εἶδον ὑμᾶς. Τὸ δὲ δακρύειν φύσεως ἀνθρωπίνης ἴδιον, οἶκτον ἐπὶ τῷ συγγενεῖ λαμβανούσης. »

41. « Ἀλλὰ μὴ λυπεῖσθαί σε, ὁ θεῖος Ἰωσὴφ ἀπεκρίνατο, μηδὲ δακρύειν ἡμῶν ἕνεκεν χρή, ἐπισταμένην πάντως, ὡς αἱ διὰ Χριστὸν θλίψεις αἰωνίου πρόξενοι εὐφροσύνης καὶ βασιλείας οὐρανῶν καθίστανται. »

42. Ἤδη δὲ τῆς ἡμέρας ὑπαυγαζούσης, τῇ εἱρκτῇ πάλιν κατὰ τὸ λεληθὸς ἀποδίδονται. Ἓξ δὲ διεληλυθότων [1] μηνῶν, παραλύεται μὲν τῆς ἀρχῆς ὁ τοὺς ἁγίους ἐπὶ τῷ καταλευσθῆναι παραλαβών, ἕτερος δὲ τούτου δεινότερος διαδέχεται, τοὔνομα Ναζερώθ, ᾧ καὶ πρόσταγμα βασιλικὸν ἦν, ὥστε τοὺς [2] συλληφθέντας χριστιανοὺς χερσὶ χριστιανῶν λίθοις βαλλομένους ἀναιρεῖσθαι.

36. — 1. *om.* X.
37. — 1. ἀλλοκότατα X, Z. — 2. *om.* X. — 3. τῆς ἐπιταθήσεις X. — 4. τῶ T. — 5. μεγάλα X. — 6. Ἀδέσχε Z. — 7. δραστήριον Y. — 8. τὸν Y.
38. — 1. αὐτοὺς T. — 2. ὀδύ/ T. — 3. *om.* Z.
39. — 1. ὄνομα τῇ γυναικὶ Ἰσδανδούλ *in marg.* X. — 2. ἱκανοῖς Z. — 3. *om.* Y. — 4. προσθεῖσα X. — 5. κανθαροῖς Z. — 6. τῶν Y.
40. — 1. εἶπεν *add.* X.
42. — 1. διελθόντων X. — 2. *om.* Y.

43. Ἐπιστάντι γοῦν τῇ πόλει καὶ τὸν τοῦ πυρὸς ναὸν εἰσελθόντι διὰ προσκύνησιν, οἱ τοῦ πυρὸς λατρευταί· « Εἰσί τινες, εἶπον, ἐνταῦθα χριστιανοὶ συχνὸν ἤδη χρόνον ἐν ἀσφαλεῖ φρουρᾷ κατακεκλεισμένοι, οἳ καὶ πρότερον, ὡς ἡμῖν ἐγνώσθη, αἰκισμοῖς σφόδρα χαλεπῶς ὑποβληθέντες τῆς ἰδίας[1] οὐκ ἐπείσθησαν ἔξαρνοι γενέσθαι θρησκείας[2]. » Τούτων αὐτὸς ἀκούσας παραχρῆμα τοὺς ἁγίους τῷ βήματι παραστῆναι κελεύει καί φησι πρὸς αὐτούς· « Τοῦ βασιλέως[3] Σαβωρίου πόλεις μὲν ὀχυρὰς καταστρεψαμένου ἔθνη τε πλεῖστα καταδουλωσαμένου[4] δυσκαταγώνιστα, πῶς ὑμεῖς ὑπὸ τὴν αὐτοῦ μὲν[5] χεῖρα τελοῦντες, τὴν αὐτοῦ δὲ[6] καρπούμενοι γῆν, ὥσπερ ἀποστάται τινὲς πολλὴν αὐτοῦ κατέγνωτε τῶν προσταγμάτων[7] ὀλιγωρίαν; »

44. Πρὸς ταῦτα ὁ θαυμαστὸς[1] Ἰωσήφ· « Εἰ τυραννίδα τινὰ καὶ ἀποστασίαν, ἔφη, κατὰ τοῦ βασιλέως ὑμῶν κεκινήκαμεν, ἔδει πάντως αὐτὸν ὅπλα τε καὶ στρατὸν ἐπαγόμενον ἡμῖν ἐπιθέσθαι, ἢ γοῦν[2] ἕτερον καθ' ἡμῶν ἐκπέμψαι τὸν καὶ χεῖρα γενναῖον καὶ πεῖραν ἱκανὸν καὶ στρατηγεῖν δεξιώτατον. Ἀλλὰ τοσοῦτον ἡμεῖς ἀπέχομεν τοιούτοις ἐπιχειρεῖν, ὥστε οὐκ ἄλλον, ἀλλὰ σὲ καθ' ἡμῶν ἐκπέμψαι, τὸν γυναιξὶ μᾶλλον θαλαμευομέναις ἢ ἀνδράσι διαμάχεσθαι[3] μεμελετηκότα. Ἡμεῖς γὰρ ὡς πρόβατα ἑαυτοὺς ἐπὶ σφαγὴν ἐκδεδώκαμεν, ὡς ἂν ὑποτάσσεσθαι πάσαις ἐξουσίαις κεκελευσμένοι. »

45. Ὁ ἄρχων εἶπεν· « Ὡς ἔοικε, τὸν ἐμὸν ἀνερεθίζων θυμὸν ἐπὶ τὸ τάχιόν σε τοῦ ζῆν ἀπαλλάξαι, ταῖς ὕβρεσι ταύταις καθ' ἡμῶν κέχρησαι. Ἀλλ' οὐκ ἐπιτεύξῃ τοῦ ποθουμένου· χρόνῳ[1] γὰρ καὶ τριβῇ[2] παραδώσω σε[3] καὶ πολλαῖς βασάνοις κατ' ὀλίγον ἐξαναλώσω. »

46. Κελεύει τοίνυν σχοινίοις ἄκρων ἐκδεθέντα ποδῶν κατὰ κεφαλῆς κρεμασθῆναι, βοείαις δὲ ξηραῖς τὰς πληγὰς ἐπιξαίνεσθαι. Οὕτως οὖν αἱ φλέβες τῷ βιαίῳ τῶν αἰκισμῶν ἀναστομωθεῖσαι ὡς ἐκ πηγῆς παρεῖχον τὰ αἵματα καταρρεῖν. Τὸ δὲ περιεστὸς πλῆθος τὴν τοῦ δικαστοῦ μεμφόμενον ἀγριότητα πρὸς οἶκτον ἐκινοῦντο καὶ δάκρυα, τὸν ἱερὸν πρεσβύτην τῆς ὑπομονῆς ἐκπληττόμενοι. Τινὲς δὲ τῶν περιεστώτων μάγων ἐν ἀπορρήτῳ προσιόντες τῷ μάρτυρι· « Εἴσελθε μεθ' ἡμῶν, ἔλεγον, εἰς τὸν τοῦ θεοῦ ἡμῶν ναὸν ἐν κρυφῇ[1], εἴ γε καὶ τὴν τῶν πολλῶν ὄψιν αἰσχύνῃ, καὶ θύσας ἀπαλλάγηθι τῶν κολάσεων. »

47. Ὁ δέ· « Ἀπόστητε ἀπ' ἐμοῦ, εἶπε λαμπρᾷ τῇ φωνῇ, ἀπόστητε, οἱ τὴν ἀνομίαν ἐργαζόμενοι, ὅτι Κύριος τῆς δεήσεώς μου εἰσήκουσεν. » Εἶτα τριῶν ὡρῶν ἤδη διελθουσῶν, κελεύει ἀνεθέντα τῶν πληγῶν αὐτῷ παραστῆναι· καί· « Τί; φησί, πείθῃ τῷ τοῦ βασιλέως προστάγματι καὶ τὸ[1] ζῆν τοῦ ἀποθανεῖν ἀνταλλάττῃ ἢ οὔ; » Ὁ ἅγιος ἀπεκρίνατο· « Μὴ γένοιτό μοί ποτε τοιαύτης ἐπιθυμῆσαι ζωῆς, ἐν ᾗ ἴδοι με ὁ[2] ἥλιος αὐτῷ μᾶλλον ἢ τῷ ποιητῇ αὐτοῦ τὴν προσκύνησιν ἀπονέμοντα. »

48. « Τί δαί; καὶ προτιμητέος σοι, εἶπεν, ὁ θάνατος τῆς ζωῆς; » Ὁ ἅγιος ἔφη· « Ναί· ὁ γὰρ θάνατος οὗτος[1] προξενός μοι ζωῆς γίνεται αἰωνίου ἀγαθῶν τε πολλῶν ἡμῖν καθίσταται αἴτιος, ἃ οὔτε ὀφθαλμοῖς ἐστι θεατὰ οὔτε ὠσὶν ἀκουστὰ οὔτε μὴν καταληπτὰ διανοίᾳ. »

49. Πρὸς ταῦτα ὁ εἴρων ἐκεῖνος καὶ χλευαστὴς οἷά περ ἐγγελῶν τῷ μάρτυρι τῆς ἀπολογίας· « Μεγάλας οὖν ἡμῖν, ἔφη, τὰς χάριτας ὀφείλεις ὁμολογεῖν, εἴ σοι τηλικούτων ἀγαθῶν πρόξενοι καθεστήκαμεν. Πάντως δὲ καὶ ἡμᾶς κοινωνοὺς αὐτῶν γενέσθαι σοι παρασκευάσεις, ἅτε δὴ καὶ συνεργούς σοι γενομένους πρὸς τὴν κτῆσιν τῆς τοιᾶσδε μακαριότητος. » Ὁ ἅγιος· « Μὴ εἰρωνεύου, εἶπε, τὰ πρὸς ἡμᾶς, δικαστά· ἡμεῖς μὲν γὰρ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ τοὺς μισοῦντας καλῶς ποιεῖν παρὰ τῆς θείας ἐντολῆς πεπαιδεύμεθα· πλὴν ἀλλ' ἕως ἐν τῷ παρόντι βίῳ ζῶντές ἐσμεν, ἀμέλει καὶ εὐχόμεθα τῆς πλάνης ὑμᾶς ἀποστάντας μεταμαθεῖν τὴν εὐσέβειαν, ὡς ἂν εἴη καὶ ὑμῖν μερὶς καὶ κλῆρος ἐν τοῖς

43. — 1. τὴν ἰδίαν X, Y *et prima manu* Z, *corr.* τῆς ἰδίας. — 2. θρησκείαν X Y. — 3. βα..λέως Y. — 4. παραδουλωσαμένου Z. — 5. *om.* X. — 6. *om.* Y. — 7. πραγμάτων Z.

44. — 1. θαυμάσιος Z. — 2. *del* [illegible] Z. — 3. διαμαχέσασθαι Y.

45. — 1. χρόνου X — 2. σε *add.* Z. — 3. *del* [illegible] Z.

46. — 1. ἐγκρυφεῖ X, ἐγκρυφῇ Y.

47. — 1. τοῦ X. — 2. *om.* X. Z.

48. — 1. οὕτω X.

ἀρράστοις τοῦ Θεοῦ ἀγαθοῖς· ἐν δὲ τῷ μέλλοντι οὐχ ἡμῖν δέδοται κολάσεως ἐξαιρεῖσθαι ἢ τὰ ἀγαθὰ διδόναι· τοῦτο γὰρ τῷ Θεῷ κεῖται μόνῳ τῷ καὶ ἐξουσίαν ἔχοντι κρίνειν ζῶντάς τε[1] καὶ νεκρούς. »

50. Ὁ ἄρχων ἔφη[1]· « Τὰς τοιαύτας ἐρεσχελίας ἐν τῷ παρόντι καταλιπὼν καὶ τὰ ὀνειροπολούμενά σοι ταυτὶ ἀγαθά, τῷ βασιλικῷ προστάγματι πείσθητι. Ἐπεὶ τηλικαύταις ὑποβαλῶ σε τιμωρίαις, ὡς διὰ σοῦ καὶ τοὺς ἄλλους πεισθῆναι χριστιανοὺς τῶν ἐν χερσὶ τὰ ἐν ἐλπίσι μηδαμῶς ἀνταλλάττεσθαι. » Ὁ ἅγιος· « Τοῦτο γάρ μοι ἔφεσις, εἶπε, καθάπερ δὴ καὶ αὐτὸς ἔγνωκας, τὸ διὰ τάχους πρὸς τὰς αἰωνίους παραπεμφθῆναι μονάς. Κἂν ἄλλας δὲ μυρίας ἐπαγάγῃς μοι τιμωρίας, κἂν μετὰ σὲ ἕτερος, τετελειωμένος ἐν τῇ Χριστοῦ ἀγάπῃ[2] εὑρεθήσομαι· ἔχω γὰρ τὸν ἐνισχύοντά με Θεόν, δι' ὃν καὶ ταῦτα ὑπομένειν προῄρημαι. Χριστιανοῖς δὲ οὐ προτροπὴ πρὸς ἄρνησιν εὐσεβείας, ὡς σὺ ἔφης, διὰ τῶν σῶν ἔσομαι βασάνων, ἀλλὰ παράκλησις μᾶλλον εἰς θεοσέβειαν· αὐτοὶ[3] γάρ με καθορῶντες ἐν γήρᾳ τοιούτῳ τὰς σὰς παρὰ φαῦλον ποιούμενον τιμωρίας, ὑπόδειγμα καλὸν ἕξουσι γενναιότητος καὶ τῆς μιμήσεως οὐκ ἀπολειφθήσονται. » Τούτων ἀκούσας ὁ ἄρχων καὶ τὸ τοῦ μακαρίου γέροντος ἀκατάπληκτον ἐκπλαγείς, ὑπό τινων διαβασταχθέντα κελεύει, ἐπεὶ μὴ[4] βαδίζειν ἠδύνατο[5], τῷ δεσμωτηρίῳ πάλιν κατακλεισθῆναι.

51. Εἶτα πρὸς τὸν μακάριον ὑποβλέψας Ἀειθαλᾶν· « Καὶ σύ, φησί, τῆς αὐτῆς ἔχῃ παραπληξίας, καὶ τὴν τοῦ μεγίστου φωστῆρος διαπτύεις προσκύνησιν; » Ὁ τῆς ἀληθείας κῆρυξ ἀποκρίνεται· « Ζῇ Κύριος Ἰησοῦς Χριστὸς ὁ τοῦ ζῶντος Θεοῦ υἱός, εἰς ὃν ἐκ νεότητος ἤλπισα, ὡς ἀμετάθετον ἔχω τὸν λογισμόν· καὶ οὐδεὶς μεταπείσει με τὴν τοῦ Θεοῦ τιμὴν τοῖς αὐτοῦ κτίσμασιν ἀπονεῖμαι. » Ἐπεὶ τούτων ὁ ἀλαζὼν ἐκεῖνος καὶ βάρβαρος ἤκουσεν, ἐκδεθῆναι τῶν ἀστραγάλων κελεύει τὸν ἅγιον, τῷ ξύλῳ τε προσαναρτᾶσθαι καὶ ταῖς βοείαις μαστίζεσθαι. Ὁ δὲ μεγάλῃ τῇ φωνῇ χριστιανὸν ἑαυτὸν ἀνεκήρυττεν. Ἀπειρήκει μαστίζων ὁ ἀσεβὴς μᾶλλον ἢ ὁ ἅγιος ὑφειμένον τι φθέγγεται[1] καὶ τῆς ὑπὲρ Χριστοῦ καρτερίας ἀνάξιον.

52. Κελεύει τοιγαροῦν τοῦ ξύλου κατενεχθῆναι, καί τινα Μανιχαῖον ἐπ' ἀτόποις τισὶν ἁλόντα εἰς τὸ μέσον ἀχθῆναι, καί· « Ὅρα, φησὶ τῷ μάρτυρι, τὴν οἰκείαν αὐτὸν θρησκείαν[1] περιφανῶς ἐξομνύμενον. » Αἰκίζεσθαι οὖν ἐπιτρέψας τὸν Μανιχαῖον ἠνάγκαζε πρὸς τὴν ἄρνησιν. Ὁ δὲ ἀντείχετο μὲν τὰ πρῶτα καὶ πρὸς τὰς πληγὰς ἐῴκει[2] διαγωνίζεσθαι. Ἐπεὶ δὲ βιαιότερον οἱ μαστίζοντες ἐπετίθεντο καὶ ἰσχυρῶς αὐτοῦ καθίκοντο αἱ πληγαί, ἡττηθεὶς τῶν πόνων ἔξαρνος εὐθὺς γίνεται καί· « Ἀνάθεμα Μάνεντι καὶ τοῖς αὐτοῦ δόγμασιν », ἐξεβόα. Καὶ δῆτα[3] προσάγουσιν αὐτῷ μύρμηκα προστάσσοντες ἀνελεῖν. Ὁ δὲ ἀπέκτεινε παραχρῆμα λαβών. Ἐφ' ᾧ διαχυθεὶς ὁ ἅγιος καὶ οἷον ἐπιγελάσας τῷ γενομένῳ· « Τεταλαιπώρηκεν, ἔφη, ὁ τοῦ Μάνεντος λατρευτής, καὶ φόνου ἑάλω τὸν ἑαυτοῦ θεὸν ἀνελών. Ἐγὼ δὲ μακάριον ἐμαυτὸν ἥγημαι κατὰ Παῦλον, ὅτι Χριστοῦ τῇ δυνάμει περιφανῶς κραταιούμενος, τοῦ εἰπόντος· Ἐγὼ νενίκηκα τὸν κόσμον, ἀήττητόν μου τὸ φρόνημα συντηρῶ. »

53. Θυμοῦ πληρωθεὶς ἐπὶ τούτῳ ὁ παράφορος δικαστὴς ῥάβδοις ῥοῶν ἐξηκανθωμέναις τύπτειν προστάττει τὸν ἅγιον. Οὕτω δὲ κατειργάσαντο αὐτὸν αἱ πληγαί, ὡς καὶ ἄφωνον σχεδὸν γενέσθαι καὶ μηδὲ τῶν ἐπιφορῶν[1] ἐπαισθάνεσθαι· ὅθεν καὶ ὡς ἤδη τεθνηκότα σύραντες ἔξω ῥίπτουσιν. Εἷς δέ τις[2] τῶν μάγων τὸ καρτερικὸν ἐκεῖνο σῶμα γυμνωθὲν θεασάμενος καί τι φιλάνθρωπον παθὼν πρὸς τὴν φύσιν, ῥάκει τοῦτο περικαλύπτει[3]. Οἱ δὲ τῆς αὐτῆς[4] ἐκείνῳ θρησκείας τὸ γεγονὸς θεασάμενοι διαβάλλουσιν αὐτὸν πρὸς τὸν ἄρχοντα· καὶ παραχρῆμα πικραῖς αἰκίζεται μάστιξι καὶ μισθὸν τοῦτο τῆς συμπαθείας παρὰ τῶν λίαν ἀσυμπαθῶν δέχεται. Τὸν μέντοι μακάριον Ἀειθαλᾶν ἐμπνέοντα ἔτι τῷ δεσμωτηρίῳ παραδιδοῦσι.

54. Μαθὼν δέ τινα ὁ δικαστὴς ἄρχοντα τῶν μεγίστων Σαβώριον τοὔνομα τῇ αὐτοῦ κώμῃ

49. — 1. *om.* Y.
50. — 1. εἶπε Z. — 2. χάριτι Y. — 3. αὐτωι X. — 4. *supra lin.* X. — 5. ἐδύνατο Z.
51. — 1. φθέγγεσθαι *corr.* Z.
52. — 1. θρησκείαν αὐτὸν Z. — 2. ἐδόκει X. — 3. δὴ X.
53. — 1. ἐπιφανῶν X. — 2. *om.* Z. — 3. καλύπτει Z. — 4. *om.* X.

ἐπιδεδημηκέναι — Μακελλαρία αὕτη[1] ἐλέγετο φερωνύμως — τούτῳ τὴν τῶν μαρτύρων ἐξέτασιν ἐπιτρέπει. Ὁ δὲ τοῖς προλαβοῦσιν ὁμοίως ἔχων ἀσεβείας καὶ ἀγριότητος, ἀποβλέψας πρὸς τοὺς ἁγίους· « Καὶ τὴν πολιὰν ὑμῶν, εἶπεν, αἰδούμενος καὶ τῆς ταλαιπωρίας οἰκτείρων ὑμᾶς παραινῶ προσκυνῆσαι ἡλίῳ καὶ τοῦ ἐκ τῶν θυσιῶν αἵματος ἀπογεύσασθαι, ἵνα πικροῦ θανάτου ῥυσθέντες τὴν γλυκεῖαν πᾶσι ζωὴν κερδήσητε. » Οἱ ἅγιοι ὡς ἐξ ἑνὸς στόματος πρὸς αὐτόν· « Τοῖς σαρκοβόροις, εἶπον, εἴθισται[2] κυσὶν αἵματος ἀπογεύεσθαι, οὐκ ἀνθρώποις. Σοὶ δὲ μᾶλλον ἐμφορεῖσθαι τοιούτων προσήκει, κυνὸς ἔχοντι λύσσαν καὶ τοῦ πεποιηκότος καθυλακτοῦντι καὶ ἀγριαίνοντι. »

55. Ὡς δὲ καὶ μαστίζεσθαι τοὺς ἁγίους ἐκέλευεν, ἔλεον δῆθεν αὐτῶν οἱ περιεστηκότες λαμβάνοντες· « Ἐψήματος, ἔλεγον, ἀντὶ αἵματος κατὰ τὸ λανθάνον ἀπογευσάμενοι[1] σώθητε καὶ τῶν ἐπηρτημένων ἀπαλλάγητε τιμωριῶν. » Οἱ δέ· « Μὴ γένοιτο ἡμῖν, ἀπεκρίναντο, μήτε σχήματι μήτε ἄλλως τὸ καθαρὸν ἐπηλυγάσαι τῆς ἡμῶν πίστεως καὶ τὸ πολυχρόνιον τοῦτο καταισχῦναι γῆρας. » Ὁ δὲ ποικίλος ἄρχων ἐκεῖνος καὶ κομιδῇ πονηρός· « Ἀλλ' εἰ κρέας ὑμῖν, ἔφη, καθαρὸν ἐνεχθείη, οὐδὲ τούτου ἂν ἀπογεύσοισθε; » Οἱ ἅγιοι εἶπον· « Ἐξ ἀκαθάρτου[2] τί καθαρὸν καὶ ἐκ χειρῶν σῶν τῶν μεμολυσμένων τί ποτε ἂν ἀμόλυντον ᾖ; Πασῶν τοίνυν[3] τῶν τοιούτων σου[4] μηχανῶν ἀφέμενος ταχεῖαν τὴν καθ' ἡμῶν ἀπόφασιν ἐπενεγκεῖν προθυμήθητι· εἰκῇ γὰρ κοπιᾷς, εἰς ἀέρα δέρων καὶ παίων ἀμαθῶς τὸν ἀδάμαντα. »

56. Κοινῇ τοιγαροῦν μετὰ τῶν συνεδρευόντων διασκεψάμενοί τε καὶ ψηφισάμενοι χερσὶ χριστιανῶν τοὺς ἁγίους καταλευσθῆναι, πλῆθος χριστιανῶν συναθροίζουσι, μεθ' ὧν καὶ τὴν θαυμασίαν συνέλαβον[1] Ἰσδανδούλ. Καὶ δῆτα τὸν μακάριον Ἰωσὴφ πάλιν διαβαστάσαντες, εἰς τὸ κριτήριον παριστῶσι.

57. Νεύει οὖν τῷ ἡγεμόνι ὁ ἅγιος πρὸς αὐτὸν ἐγγίσαι, ὥς τι τῶν ἀπορρήτων ἀκουσομένῳ. Τοῦ δὲ εὐθέως παραγενομένου καὶ πλησιάσαντος, σιέλου τὸ στόμα πληρώσας ὁ μάρτυς, τοῦ μιαροῦ ἐκείνου καταπτύει προσώπου· « Οὐκ αἰσχύνει, ἐπειπών, ἀναιδέστατε, ἀγρίως οὕτω καὶ δυσμενῶς κατὰ τῆς κοινῆς ταύτης νεανιευόμενος φύσεως καὶ σῶμα ἤδη νενεκρωμένον αὖθις εἰς ἐξέτασιν ἄγων; » Ὁ δὲ καὶ παρὰ τῶν συνεδρευόντων πολλὰ τῆς περιττῆς ταύτης ὠμότητος κατονειδισθεὶς καὶ γέλωτα οὐδὲ ὅσον εἰπεῖν ὀφλήσας, πρὸς τὴν ἰδίαν πάλιν καθέδραν ὑποστρέφει κατησχυμμένος. Τὸν δὲ ἅγιον πορρωτέρω που διαστήσαντες καὶ ὀπίσω τὼ χεῖρε δεσμήσαντες, βόθρον αὐτῷ διορύσσουσι, καὶ καθέντες μέχρις ὀσφύος αὐτὸν χωννύουσιν. Εἶτα τοὺς συλληφθέντας περιιστῶσι χριστιανούς, καὶ παίοντες βάλλειν τὸν ἀοίδιμον λίθοις διεκελεύοντο.

58. Μεθ' ὧν καὶ τὴν ἱερὰν Ἰσδανδοὺλ τὰ ὅμοια ποιεῖν ἐπειγόντων, ἐκείνη· « Ἀπὸ τοῦ αἰῶνος, ἔφη, οὐδὲν ἤκουσται τοιοῦτον, ὥστε γυναῖκα κατ' ἀνδρῶν ὁσίων χεῖρα ἐκτείνειν καταναγκάζεσθαι, ὥσπερ νῦν ὑμεῖς ποιεῖτε, ἀποσχόμενοι μὲν τοῦ κατὰ τῶν ἐχθρῶν ἀγωνίζεσθαι, καθ' ἡμῶν δὲ[1] αἴροντες ὅπλα καὶ τὴν πατρίδα εἰρήνην ἄγουσαν αἱμάτων καὶ σφαγῶν ἐμπιπλῶντες. » Οἱ δὲ ὀβελίσκον μακρῷ καλάμῳ παραδεσμήσαντες κεντεῖν αὐτῷ[2] τὸν ἅγιον διεκελεύοντο. Κἀκείνη· « Μὴ γένοιτό μοι, ἔφη, δρᾶσαι τοιοῦτον· ὡς ἔγωγε ἡδέως ἂν πρότερον τῇ ἐμῇ καρδίᾳ τοῦτο ἐγκαταπήξαιμι[3] ἢ πρὸς βραχὺ τοῦ ἁγίου δι' αὐτοῦ ψαύσω σώματος. » Οὕτως ἡ μὲν[4] ἀνδρικὴν ἐπιδειξαμένη τὴν ἔνστασιν, κρείττων τῆς ἐπινοίας ὤφθη τῶν μιαιφόνων.

59. Τὸν δὲ ἅγιον τοσαύταις νιφάσι λίθων συνέχωσαν, ὡς μόνην ὁρᾶσθαι τὴν κεφαλήν, τοῦ λοιποῦ σώματος τῇ σωρείᾳ τῶν λίθων συγκεχωσμένου. Ἦν δή τις τῶν ἀσεβῶν ἀρχόντων ἔτι κινουμένην ἑωρακώς, ἑνὶ τῶν δημίων κελεύει χειροπλήθη λίθον λαβόντι ἄνωθεν αὐτῇ ἐπαφεῖναι· οὗ δὴ γενομένου καὶ τῷ τοῦ λίθου βάρει τέλεον αὐτῆς συντριβείσης, τὴν τιμίαν ψυχὴν ὁ μακάριος τῷ Χριστῷ παρατίθησι. Φυλάκων τοίνυν ἐπιστασίαις[1] τὸ πολύτιμον ἐκεῖνο σῶμα καθάπερ θησαυρός τις συνετηρεῖτο. Τριῶν δὲ διελθουσῶν ἡμερῶν καὶ τῆς[2] τετάρτης ἤδη ἐπικαταλαβούσης, σεισμὸς μέγας οἷος καὶ φοβερὸς γίνεται· εἶθ' οὕτως ἀστραπῶν ὑποφαινομένων βροντῶν τε μεγίστων ἐπικαταρρηγνυμένων αὐταῖς,

54. — 1. ταύτη X. — 2. εἴθισται εἶπον Z.
55. — 1. ἀπογευσαμένοις X. — 2. ἐξ ἀκαθάρτου εἶπον Z. — 3. *om.* X. — 4. σοι T.
56. — 1. κατέλαβον T.
58. — 1. *om.* T. — 2. αὐτῇ *in rasura* Z. — 3. ἐγκαταπλήξαιμι X. — 4. ἡ μὲν *om.* Z.
59. — 1. ἐπιστασίαι Z. — 2. *om.* T.

πῦρ οὐρανόθεν κατενεχθὲν ἀποτεφροῖ μὲν τοὺς φύλακας, τὸν[3] σωρὸν δὲ τῶν λίθων οἷά τινα χοῦν ἐκφορεῖ, τὴν ἐπὶ τῷ μάρτυρι τιμὴν τοῦ Θεοῦ φανερὰν πᾶσι καθιστῶντος· τὸ σῶμα δὲ ἀφανὲς γίνεται, εἴτε τοῦ Θεοῦ τοῦτο οἷς οἶδε τρόποις μεταθεῖναι οἰκονομήσαντος[4], εἴτε ἀνθρωπίνων ἀνελομένων χειρῶν.

60. Ἀειθαλᾶν δὲ τὸν τιμιώτατον εἰς κώμην Πατριὰς καλουμένην ἀπαγαγόντες, χριστιανῶν χερσὶ καὶ αὐτὸν καταλευσθῆναι παρασκευάζουσιν· οὗ τὸ σῶμα μοναχοί τινες τῶν ἐκεῖ κατοικούντων νυκτὸς ἀπελθόντες[1] καὶ διαλαθόντες τοὺς φύλακας ὑφαιροῦσι, κλέμμα ὄντως ἐπαινετὸν ἐργασάμενοι καὶ πρᾶγμα οὐ σκότους, ἀλλὰ φωτὸς ἄξιον. Εἶτα καὶ τὰ νενομισμένα δράσαντες ἐπ' αὐτῷ, ἐν τόπῳ τινὶ τῶν ἐπισήμων κατατιθοῦσιν. Ἔνθα δὲ[2] τὸν ἅγιον ἀναιρεθῆναι συνέβη, θαυματουργεῖ Θεὸς ἄξιόν τι καὶ τῆς αὐτοῦ δυνάμεως καὶ τῆς τοῦ μάρτυρος δόξης. Φυτὸν γάρ τι μυρρίνη φυεῖσα νοσημάτων γίνεται[3] παντοίων ἀπαλλαγή. Ἐπὶ πέντε τοιγαροῦν χρόνοις τῶν θαυμάτων οὕτω διὰ τοῦδε τοῦ φυτοῦ τελουμένων, οἱ τὰ Ἑλλήνων θρησκεύοντες φθόνῳ βαλλόμενοι τὴν ψυχὴν καὶ τὰ παράδοξα δὴ[4] ταῦτα ἐπ' ἐλέγχῳ τῆς αὐτῶν θρησκείας οὐ φέροντες καθορᾶν, αὐταῖς ῥίζαις ἐκτέμνουσί τε τὸ φυτὸν καὶ πυρὶ νέμουσι. Πολλοὶ δὲ τῶν τὴν ψυχὴν ἐκκεκαθαρμένων ἐφ' ἱκανὸν χρόνον φῶτα περὶ τόνδε τὸν χῶρον ἑώρων καὶ δυνάμεις θείας ἀνιούσας ὥσπερ καὶ κατιούσας καὶ δόξαν ἀναπεμπούσας τῷ τοὺς ἁγίους αὐτοῦ δοξάζοντι. Ἐτελειώθη δὲ ὁ τοῦ Χριστοῦ μάρτυς Ἀειθαλᾶς κατὰ τὸν ἰούνιον μῆνα, τὴν ἴσην τοῖς πρὸ αὐτοῦ τελειωθεῖσι μάρτυσιν ἔνστασίν τε καὶ καρτερίαν ἄχρι θανάτου ἐπιδειξάμενος βοηθείᾳ καὶ χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει[5] δόξα, τιμὴ[6] σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ[7] ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων[8]. Ἀμήν.

3. τὴν Y. — 4. οἰκονομήσαντο T.

60. — 1. ἐπελθόντες Y. Z. — 2. δὴ T. — 3. *om.* X. — 4. *om.* X. — 5. πᾶσα *add.* T. — 6. καὶ προσκύνησις *add.* T. — 7. παναγίῳ κ. ἀ. καὶ *om.* T. — 8. τῶν αἰώνων *om.* Z.

INDEX DES NOMS PROPRES

(A = Assémani; Bⁿ = Bedjan; S = Synaxarium; voy. *supra*, p. 420.)

Imprimé par les Usines Brepols S.A. Turnhout / Belgique
Printed in Belgium